λάθρα ἡμῶν. *Clam nobis id eſt, nobis neſcientibus. Demoſth.*

κρύβδην ψηφίζεσθαι. *Clam decernere. Idem.*

A D I V N C T A.

¶ *Manifeſtum.*

δῆλον τοῦτό γε ἤδη καὶ παιδί, Plat. in Symp. hoc quidem iam vel puero perſpicuum eſt. καὶ παιδικῇ διανοίᾳ δῆλά ἐστι Baſil. id eſt, καὶ παιδί. δῆλα γὰρ καὶ τυφλῷ, Plat. 5. Politic. hæc vel cæco clara ſunt.

Demoſt. λέγει καὶ γράφει ἐναντία τοῖς πεπραγμένοις. *Dicere & ſcribere contraria actionibus.*

Demoſth. ἐναντιώτερα πράγματα ἑαυτοῖς πῶς ἂν γένοιτο; *Poſſuntne res inter ſe magis eſſe contraria?*

Xenoph. καὶ τὸ ἐναντιώτατον δή. *Plutarch.* τὰς ἐναντιωτάτας ἔχοντα δυνάμεις *Habentia maximè contrarias facultates.*

2. τοὐναντίον.

ἐναντία

τῶν καλῶν. Conttaria rebus honeſtis. Æſchines. Plato. Xenoph. τἀναντία τούτων. Contrà quàm iſti.

τοῖς [cum datiuo perſonæ] vt,

Iſocr. τἀναντίον πλείστοις τῶν ἀνθρώπων πέπονθα. *Contraria paſſus ſum multis aliis hominibus.*

Plutar. αὐτὸς μὲν αὑτῷ τἀναντία πολλάκις εἴρηκε. *Sibi quidem ſæpè contraria dixit. Sed iungitur etiam datiuo rei.*

ἢ προσῄδεν δρᾷ Facit contra quàm dixit. Ariſtophanes.

3. ὑπεναντίον.

ὑπεναντία { τοῖς λόγοις ποιεῖν Facere contraria verbis. Iſocr.
αὐτὸν αὑτῷ λέγειν. Sibi ipſi contraria dicere. Idem.

Iſoc. ὑπεναντία λέγει αὐτὸς αὑτῷ. *Dicit ſibi ipſi contraria.*

ἀντίστροφον cum genitiuo: vt,

Iſocr. Κόνων δ' οὐ πολλοῖς ἔτεσιν ὕστερον ἀντίστροφα τούτων ἔπραξε. *Conon non multis annis poſt his contraria fecit.*

¶ Excepto vno, πλὴν ἑνός. χωρὶς ἑνός.

Iſocr. ἅπαντες, πλὴν ἑνὸς ἀνδρός. *Omnes, viro vno excepto. Idem.* χωρὶς τῆς ἡμετέρας, πᾶσαι πόλεις *Omnes ciuitates excepta noſtra.*

Excipere aliquem, hoc eſt, eximere in ſermone, ἐξαίρειν τινὰ τοῦ λόγου.

Plato. Σωκράτην δ' ἐξαίρω τοῦ λόγου. *Socratem autem excipio.*

Vbi? ποῦ;

Demoſth. ἀλλὰ ποῦ συντρίβεται, καὶ ποῦ δυσχεραίνεται; *Sed vbi colliditur res, & in quo eſt difficultas?*

Vbi, Vbicunque. οὗ.

Demoſth. καὶ λέγε ἐπίσχες οὗ ἄν σε κελεύω. *Et lege ac neſiſte ſeu ſuperſede vbicunque te iuſſero.*

Vbi, ibi, ὅπου, ἐνταῦθα: vel ὅπου, ἐκεῖ.

Plutarch. ὅπου γέροντές εἰσιν ἀναίσχυντοι, ἐνταῦθα ἀνάγκη καὶ τοὺς νέους ἀναιδεστάτους εἶναι. *Vbi ſenes inuerecundi ſunt, ibi neceſſe eſt iuuenes impudentiſſimos eſſe.*

Chryſoſt. ὅπου πλείων ὁ πόνος, ἐκεῖ μείζων ἡ ἡδονή. *Vbi plus laboris eſt, ibi & voluptas maior eſt.* Nonnunquam etiam voces ἐνταῦθα & ἐκεῖ in altero membro periodi diſſimulantur. Vbi res ita tulerit, ἡνίκα ἂν τύχῃ. Demoſth.

¶ Cùm, tum. Vbi, tum. Poſtquam, tum. Poſtquam.

ἐπειδὴ, τηνικαῦτα.

Demoſth. ἐπειδὰν κριθείς τις ἐξελεγχθῇ, τηνικαῦτα ἀδικήματα γίγνεται. *Poſtquam iudicio quis ſit conuictus, tum demum fiunt ſcelera.*

ἐπειδὴ, ἀλλὰ, ſequente participio.

Iſocr. καὶ ταῦτ' ἔπραξεν, οὐκ ἐπειδὴ ἀπολελαυκὼς ἦν τῶν παρόντων ἀγαθῶν, ἀλλ' ἀκμάζων. *Et hæc fecit, non vbi bona illa percepiſſet, ſed in ipſo ætatis flore.*

2. ὅταν, τηνικαῦτα.

Vlpian. ὅταν μὲν οὐκ ἔχωμεν ὅμοια, τηνικαῦτα οὐδὲν κωλύει, &c. *Cùm ſimilia non habemus, tum nihil vetat, quò minus, &c.*

3. ἐπειδὰν, τηνικαῦτα.

Demoſth. ἐπειδὰν τὴν προσωποληψίαν λύσητε, τηνικαῦτα ζητεῖτε. *Poſtquam perſonarum reſpectum ſuſtuleritis, tum quærite aliquem, &c.*

4. ἐπειδὰν, τότε.

Demoſth. ἐπειδὰν εὖ πάθωμεν, τότε τὴν ἀξίαν τοῦ ποιήσαντος σκεψόμεθα. *Cùm beneficia acceperimus, tum de dignitate eius qui dedit, diſputabimus.*

5. ἐπειδὴ.

Iſocr. ἐπειδὴ δ' ἄνδρες ἐγενόμεθα. *Poſtquam ad virilem ætatem peruenimus: vel, Cùm viri facti ſumus.*

Eodem modo ἐπὰν *&* ἐπειδὰν *vſurpantur, ſed ſemper cum coniunctiuo. Demoſt. Iſocr.*

6. Ἐπειδὰν.

Demoſth. ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, καὶ μὴ πρότερον προλαμβάνετε. *Vbi omnia audiueritis, iudicate, & non anticipate. Hic* ἐπειδὰν *ſine altera voce ponitur.*

Simulatque. Simulac.

ἅμα, aut ἅματε, ſequente καὶ, imo verbo interiecto, vel etiam pluribus: vt.

Demoſt. ἅμα ἀκηκόαμέν τι καὶ καθίσταμεν. *Simulatque audiuimus aliquid etiam conſtituimus.*

Chryſoſt. ἅμα τε προσέπεσε πρὸς τοὺς πόδας τοῦ χριστοῦ καὶ σωτηρίας ἔτυχε. *Simulatque ad pedes Chriſti procubuit, etiam ſalutem adepta eſt.*

Iſocr. ἅμα γὰρ ἡμεῖς τε τῆς ἀρχῆς ἀπεστερούμεθα, καὶ τοῖς Ἕλλησιν ἀρχὴ τῶν κακῶν ἐγίνετο. *Simulatque nos imperio priuati ſumus, Græcorum imperium ad malos peruenit.*

Demoſth. ἅμα τῇ ἡμέρᾳ *Simul ac diluxit.*

Simul ac ὡς.

Demoſth. ὡς γὰρ ἀνέστη τάχιστα ἐξ ἐκείνης τῆς ἀσθενείας ὁ φράστωρ. *Nam ſimul ac ex infirmitate illa ſurrexit Phraſtor, &c.*

¶ Conſumere vel terere tempus, ætatem, annos, dies, In aliqua re commorari.

διατρίβειν.

διατρίβειν

χρόνον ἢ τὸν βίον. Conſumere tempus aut ætatem. Iſocr.

πολλὺν χρόνον ἐν ταῖς ὁδοῖς. In itineribus multum temporis conſumere. Xenoph.

συχνὸν τοῦ βίου. Magnam vitæ partem conſumere: vt,

Plato, μεθ' ὑμῶν συχνὸν διέτριψε τοῦ βίου. *Vobiſcum magnam vitæ partem attriuit.*

ἔν τινι. Terere tempus in aliqua re, Immorari in aliqua re. Iſocr. & Demoſth.

πλεῖστον χρόνον ἐν τῷ βουλεύεσθαι. Deliberando plurimum temporis conſumere.

χρόνον περί τι In aliqua re tempus conſumere. Iſocr.

ἡμέρας τινάς. Aliquot dies conſumere. Xenoph.

ἔτη. Annos conſumere: vt,

Iſocr. ἤδη ἓξ ἔτη διατρίβει. *Iam ſex annos conſumpſit.*

πλεῖστον χρόνον ἐπὶ τοῖς οἰκείοις. In propriis rebus plurimum temporis conſumere. Iſocr.

μετά τινος (omiſſo accuſatiuo βίον vel χρόνον) Cum aliquo tempus conſumere, vel apud aliquem commorari. Iſocr. in Panath.

ἐν τῇ πόλει. In ciuitate commorari. Iſocr.

κατά τι. In aliqua re tempus terere: vt,

Demoſth. ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω. *Ne in ſingulis recenſendis tempus teram.*

Iſocrates, τί δεῖ καθ' ἕκαστα λέγοντα διατρίβειν; *Quid opus* *eſt ſingulis commemorandis tempus conſumere, vel illis immorari?*

ADIVNCTA.

¶ *Conſumere tempus.*

ἀναλίσκειν. μίαν ἡμέραν ὅλην ἐπὶ τούτοις ἀναλίσκειν, Demoſthen. diem vnum totum in his rebus inſumere. Et ruſſus, πρὶν εἰς Μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνηλώσαμεν μάτην. ἀναλίσκειν τὸν καιρὸν, Chryſ. fruſtra ac temerè. εἰς οὐδὲν δέον, idem quod μάτην. Et cum præpoſitione εἰς, Diodor. διετῆ χρόνον ἀναλώσας εἰς τὴν [illegible]θεσιν.

προσαναλίσκειν, Baſil. τὴν νεότητα ταῖς ἁμαρτίαις προσαναλίσκειν, iuuenilem ætatem in peccatis conſumere.

καταναλίσκειν, idem quod ἀναλίσκειν, Theoph. περὶ κύβους τὴν τοῦ βίου σχολὴν καταναλίσκειν, aleæ totum vitæ tempus impendere.

κατατρίβειν τὸν χρόνον, tempus terere. Demoſth. κατέτριψε τὴν ἡμέραν δημηγορῶν, diem dicendo duxit. ἀγαζόμενοι τὸ γένος τῶν ἡμιθέων τὸν βίον ἐπὶ [illegible] κατέτριψαν, Iſocr. in inueſtiganda ſemideorum proſapia totum vitæ ſuæ tempus contriuerunt.

διατρίβειν pro κατατρίβειν, idem. ἐν τούτῳ τὸ πλεῖστον χρόνου διέτριβον, in [illegible] plurimum temporis impendebant. Et alio loco ἀξίους τῆς δόξης καὶ τοῦ χρόνου τοῦ περὶ τοὺς λόγους διατριφθέντος, id eſt, ἀναλωθέντος.

σχολάζειν Demoſth. πάντα τὸν βίον ἐσχόλακεν ἐν τούτῳ, per omnem vitam [illegible] vnum [illegible] huic vni rei operam dedit.

[illegible] τοσαῦτα ἔτη ἀποδιδόναι, Luc. tot annos dare. τὴν ἡμέραν ἐκείνην [illegible] [illegible] ceſſationi dare.

δαπανᾶν ὅλην τὴν νύκτα [illegible], idem. impendit. Et Baſil. δαπανᾶν τὰς ἡμέρας εἰς [illegible].

2. διατριβή.

διατριβὴν

{ ποιεῖν, Cunctari Morari Moram facere Iſocr.

Huic opponitur [illegible] apud Demoſthenem.

χρόνου τριβὴν. Moras nectere. Herodian.

παρέχειν τινί Subminiſtrare alicui, quo tempus terat, aut fabula. Plutarch.

διατριβῆς ἕνεκα Animi cauſa *Für die lang VVeil.*

διατριβή
} Mora dilatio. *Retardement.*
ἀναβολή

μηδεμίαν ἀναβολὴν ποιεῖσθαι. *Nullam moram interponere. Demoſth.*

Idem. ἀεί τι προφασίζεσθαι καὶ ἀναβολὰς ποιεῖσθαι. *Semper aliquid prætexere: & moras nectere.*

Idem. σκοπεῖν, ἵνα γένηται ἀναβολή. *Videre ut mora produci poſſit.* συμβαίνειν ἀναβολήν τινα. *Accidere dilationem aliquam. Idem.*

3. κατατρίβειν.

Iſocr. τὸν βίον τὸν αὑτῶν κατέτριψαν τοῦτο ζητοῦντες. *In inquiſitione huius rei ætatem conſumpſerunt.*

Xenoph. dicit ſtudia Geometriæ ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν *id eſt, poſſe hominem totum vitæ tempus conſumere, antequam ad perfectam earum cognitionem perueniat.*

Æſchin. ὁ δημοσθένης κατέτριψε τὴν ἡμέραν ἀπολογούμενος. *Demoſthenes totum diem conſumpſit defendendo, vel defenſionibus.*

χρονίζειν πάντα τὸν βίον ἔν τινι. Totam vitam in aliqua re conſumere.

Demoſth. τεχνίτην τῶν λόγων, καὶ ὃς πάντα τὸν βίον ἐν τούτῳ ἐσχόλακε. *Artifex dicendi qui totam vitam in eo ſtudio conſumpſit.*

¶ ἡμερεύειν vel διημερεύειν. Diem ducere vel terere.

Demoſth. ἐν τῇ ἀγορᾷ πραγματευόμενοι ἡμερεύουσιν. *In foro quæſtum facientes totos dies agunt.*

Iſocr. ἐν τοῖς συλλόγοις διημερεύουσιν. *In congreſſibus totos dies conſumunt.*

χειμάζω, Hyberno. θερίζω. Æſtatem traduco.

χειμὼν Hyems, θέρος Æſtas. φθινόπωρον, Autumnus. ἔαρ, Ver.

Damnare, Condemnare.

καταψηφίζεσθαι.

καταψηφίζεσθαι

τινός. Aliquem ſuo ſuffragio condemnare. Demoſt.

Plato in Apolog. καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου, καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω. *Ego illis, qui me ſua ſententia damnarunt, & accuſatoribus meis, plane non ſuccenſeo.*

τινὸς θάνατον. Damnare aliquem capite. Demoſth.

Xenoph. λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους τὸν θάνατον. *Dico autem hæc non ad omnes, ſed ad illos qui me capitis damnarunt.*

τινὸς κλοπῆς. Furti aliquem damnare. Plato.

In paſſiuo.

καταψηφισμένος, καταψηφισθείς. *Damnatus Plato.*

Idem, καταψηφισθεὶς θανάτῳ, ἢ φυγῆς. *Damnatus capite aut exilio.*

2. καταδικάζειν.

καταδικάζειν τινός. *Contra aliquem ſententiam ferre. Condemnare aliquem. Syneſ.*

καταδικάζειν τινὰ (*cum accuſ.*) *Idem Syneſ.*

In paſſiuo.

Luc. κατεδικάσθησαν θανάτῳ. *Morte damnati ſunt.*

3. καταδικάζεσθαι.

καταδικάζεσθαί τινος. (*in media voce*) *Condemnare aliquem. Demoſth.*

4. καταγινώσκειν.

καταγινώσκειν
τινός. Condemnare aliquem. Demoſth.
τινὸς θάνατον. Capitis condemnare aliquem. Iſoc. & Lycurg.
τινὸς θανάτου. (cum gemino genitiuo) Demoſt.
τινὸς φόνον.
τινὰ φόνου. } Damnare aliquem homicidij. Syneſ.

Sic καταγνῶναί τινος τὴν φυγήν. *Condemnare aliquem ad exilium. Demoſth.*

In paſſiuo.

κατέγνωσταί σου θάνατος. *Capitis ſeu capite damnatus es. Plutarc.* ἀκούσας Ἀλκιβιάδης ὅτι θάνατος αὐτοῦ καὶ τῶν σὺν αὐτῷ κατέγνωσται. *Cum Alcibiades audiuiſſet, ſe cum ſociis morti adiudicatum eſſe.*

Idem, κατεγνώσθη θάνατος τοῦ Φωκίωνος καὶ τῶν φίλων. *Phocion cum amicis eſt res capitalis damnatus. Nazianz.* οἱ καὶ μέθην καταγινωσκόμενοι. *Qui ebrietatis damnantur ſeu quibus ebrietas obiicitur.*

5. κατακρίνειν.

κατακρίνειν τινά. Damnare aliquem.

κατακρίνειν τινὸς θάνατον (cum genitiuo & accuſatiuo) vt,

Iſocr. ὁμοίως ἁπάντων θάνατον κατέκρινε. *Sine diſcrimine omnes capitis damnauit.*

Idem, τὸ μὲν τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε. *Parca omnes homines morte damnauit.*

Sic & paſſiuè.

κατακρίνεσθαι θάνατον. *Morte damnari.*

ἁλίσκεσθαι
ἁλῶναι } Condemnari. Demoſth.

Idem, ἀλισκομένους ἀπόλλυσθαι μετ' αἰσχύνης. Condemnatos perire cum ignominia.

καταδικάζεσθαί τινος ἀδίκως. Iniuſtè aliquem condemnare. Demoſthenes.

ἀκρίτους. { ἀποκτεῖναί τινα. Indicta cauſa aliquem interficere. Demoſthenes.
παραδοῦναί τινα. Indicta cauſa aliquem tradere. Idem.

ἀκρίτως. { ἀποκτείνειν τινά. Trucidare aliquem indicta cauſa. Demoſthenes.
ἀποθανεῖν, ἢ ἀπόλλυσθαι. Mori aut perire indicta cauſa. Idem.

ἄνευ κρίσεως κολάζειν τινά. Citra iudicium, hoc eſt, indicta cauſa punire aliquem. Demoſt.

A D I V N C T A.

¶ *Damnare.*

καταγινώσκειν, Suid. ὁ δῆμος ἁπάσαις ταῖς ψήφοις τοῦ ἀνδρὸς κατέγνω, populus omnibus calculis eum condemnauit. τότε κατεγνώσθη θάνατος, Antiph.

μωρίαν καταγινώσκειν τοῦ πέμψαντος, Iſocr. eum, qui miſit, ſtultitiæ notare. Sic καταγινώσκειν σου θάνατον. & in paſſiuo, κατέγνωσταί σου θάνατος, vel, ἐσχάτη σου τιμωρία κατεγνώσθη, ad mortem damnatus es.

ὑπερκατηφὴς ὡς θανάτῳ κατάκριτος, Luc. non minùs triſtis, quàm ſi capitalem ſententiam accepiſſet.

κατακρίνεσθαι. πολλοῖς ταλάντοις κατεκρίθησαν, Diodor. multis pecuniis mulctati ſunt. Et Gregor. ὁ θανάτου ὑπὸ τῶν Ἀθηναίων κατακριθείς, capitis damnatus ab Athenienſibus. κατακέκριτο θηρίοις ἀποθανεῖν, Luc.

καταδικάζειν & καταδικάζεσθαι. κατεδίκασαν αὐτῶν πολλοῖς χρήμασι. Diod. pecunias multas eis mulctæ nomine impoſuerunt, multis pecuniis eos mulctarunt. θανάτῳ καταδικάζειν, Baſil. καταδικάζονται ἀποθανεῖν, Luc. i. θανάτῳ καταδικάζεσθαι. καταδικάζειν ἑαυτοῦ θανάτῳ, Herodot. ſibi mortis ſupplicium irrogare, ſeipſum morte damnare. μηδετέρου μέρους ἐξ ἐρήμης καταδικασθέντος, Phil. neutra parte, incognita cauſa, condemnata.

ἁλίσκεσθαι τὴν γραφήν, Æſch. δικαίως δήπου τὴν γραφὴν ἁλώσεται, iuſtè nimirum condemnabitur. ἐὰν ὁ φεύγων ἁλῷ. Plat. de leg. 12. ſi reus criminis conuictus fuerit. ἐξ ἐρήμης ἁλίσκεσθαι, indicta cauſa damnari.

θανάτου τιμᾶν, pœnam capitalē conſtituere. θανάτου τιμῆσαι τῷ καταδίκῃ, extremum in eum, qui iudicio damnatus fuerit, ſupplicium ſtatuere. ſic Dinarc. θανάτῳ τετιμημένος ἑαυτῷ, ἐὰν ἐξελεγχθῇ ὁτιοῦν εἰληφὼς παρ' Ἁρπάλου, capitali pœna ſeipſum mulctans, vel, capitis pœnam ſibiipſi indicens, ſi quicquam ab Harpalo accepiſſe compertus fuerit.

ὀφλεῖν δίκην φαρμάκων, Plat. leg. 11. veneni dati reum peragi.

δίκην δὲ ταύτην λαχὼν τὴν κακηγορίας, εἷλεν ἐρήμην. οὐ γὰρ ἀπήντα, Demoſt. indicta cauſa, quod ad iudicium non affuiſſet, condemnatus eſt. Gall. *Ie l'ay emporté par defaut, ou contumace.*

Præterquam. πλὴν ἤ.

Plato in Apol. ἄδηλον παντὶ, πλὴν ἢ τῷ θεῷ. *Ignotum eſt omni homini præterquam Deo.*

Præter domeſticos nemo πλὴν τῶν οἰκείων οὐδείς. Demoſth.

Abſque vel præter, ἄνευ.

Demoſth. δισχίλιοι δὲ ἱππεῖς, ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν. *Bis mille equites abſque oppidanis copiis, vel, præter oppidanas copias, congregati fuerunt.*

¶ Debere.

ὀφείλειν.

ὀφείλειν

Debere (ſine caſu) vt,

Plutarch. τὸ ψεύδεσθαι δεύτερον ἡγοῦνται τῶν ἁμαρτημάτων, πρῶτον δὲ τὸ ὀφείλειν. *Mentiri iudicabant eſſe ſecundum peccatum, primum vero debere. Loquitur de Perſis, Hinc* οἱ ὀφείλοντες. *Debitores.*

τινὶ χάριν. Debere alicui gratiam. Plato.

Xenoph. ἐμοὶ πολλὰς ὁμολογεῖν χάριτας ὀφείλειν. *Vt confiterentur ſe mihi magnam gratiam debere.*

τῷ θεῷ θυσίας Deo debere ſacrificia. Plato.

ἀνθρώποις χρήματα. Debere hominibus pecuniam: vt,

Plato, Politic. 1. ὀφείλοντα ἢ θεῷ θυσίας τινὰς, ἢ ἀνθρώποις χρήματα.

τινὶ χρέος ἢ χρέα Debere alicui æs alienum. Demoſth.

τινί. Debere alicui vt,

Demoſth ἐπειδὴ διαλύειν ἔδει οἷς ὤφειλον, ἐξέστησαν πάντων. *Cùm ſatisfaciendum eſſet creditoribus, ceſſerunt bonis.*

λέγειν (cum infinitiuo) Debere dicere. Ariſtot.

Demosth. οὔ τοι τὸν καιρὸν ὦ συμπαρασκευάσασθαι καθ' ἡμῶν αὐτῶν ὀφείλομεν. *Non debemus hanc occaſionem in propriam noſtram perniciem parare.*

In paſſiuo.

Thucyd. καί μοι εὐεργεσία ὀφείλεται *Et mihi beneficium debetur.*

Paulus 1.*Cor*.7. τῇ γυναικὶ ὁ ἀνὴρ ὀφειλομένην εὔνοιαν ἀποδιδότω. *Vxori vir debitam beneuolentiam præſtet.*

Athen ἀπαιτεῖν τὰ ὀφειλόμενα. *Debita exigere, repoſcere.*

τὸ ὀφειλόμενον
τὸ ὀφειλόμενον χρέος
τὸ ὄφλημα
τὸ χρέος

ἀποδοῦναι, ἐκτίειν, διαλύειν, λαβεῖν, ἀφεῖναι. Debitum reddere, ſoluere, accipere remittere. Demoſth. Iſoc. *Payer ou receuoir vn debte, ou la quitter.*

ὀφειλέτης
ὀφείλων
ὄφλων
χρήστης

Debitor.

ὑπόχρεως } Qui totus obæratus eſt. Dem.
ὑπέρχρεως } *Qui eſt fort pecunieux.*

ὑπόχρεων εἶναι ἅπασαν οὐσίαν τινός. Obæratas eſſe totas alicuius facultates. Demoſt.

προσήκουσα
τιμή. Debitus Honor.
δόξα. Debita gloria.
τιμωρία. Debita pœna Plato.

¶ Dedecorare, Deformare.

καταισχύνειν.

καταισχύνειν

τιμάς. Honores deformare: vt,

Demoſth. μᾶλλον εἵλετο μὴ ζῆν, ἢ καταισχῦναι τὰς παρ' ὑμῶν ὑπαρχούσας αὐτῷ τιμάς. *Maluit occumbere, quam honores ſibi à vobis decretos dedecorare.*

τι λόγῳ Verbo aliquid deformare. Demoſth.

τὴν δόξαν ἑαυτοῦ. Suam exiſtimationem deformare, Demoſthenes.

κλέος φαυλότητι τρόπων. Turpitudine morum gloriam deformare. Herodian.

τὴν πόλιν. Ciuitatem ignominia afficere. Iſocr.

παρθενίαν. Virginitatem contaminare. Plutarch.

ἑαυτὸν καὶ τοὺς παῖδας. Maculam aſpergere ſibi & liberis. Demoſth.

τοῦτό σοι ὄνειδος. Hoc eſt tibi dedecori: vt,

Plutarch. ἐμοὶ μὲν ὄνειδος οἱ γονεῖς, σὺ δὲ τοῖς γονεῦσιν. *Mihi parentes* *dedecori ſunt, tu autem parentibus tuis.*

εἰς ὀνείδη καταστῆσαί τινα. Aliquem contumelia afficere. Iſocr.

ὄνειδος. Dedecus, Probrum.

αἰσχύνην τῇ πόλει { περιποιεῖν / περιάπτειν / προσάπτειν } Ciuitati labem aſpergere. Maculam inurere. Iſocr. Plato. *Blaſmer vne ville de quelqu'vn.*

εἰς τὴν μεγίστην αἰσχύνην τὴν πόλιν καταστῆσαι. Maxima ignominia ciuitatem afficere. Iſocr. ad Philipp.

ῥυπαίνειν / καταρρυπαίνειν } τινά. Aliquem deformare, Labem vel maculam alicui aſpergere: vt,

Dionyſ. Halicarnaſ. in Iſocr. καὶ οὐκ Ἀριστοτέλει πείθομαι, ῥυπαίνειν τὸν ἄνδρα βουλομένῳ. *Et non aſſentior Ariſtoteli, virum deformare volenti.*

Iſocr. in epiſt. 2. καταρρυπαίνειν τὰς πράξεις τὰς πρότερον κατορθουμένας. *Labem aſpergere rebus antè præclarè geſtis.*

ἀτιμᾶσθαι, Ignominia affici. ἠτιμώθη ὅτι ἐψεύσατο. Ignominia notatus eſt, quod mentitus ſit. Demoſth. ἠτιμωμένος, Ignominioſus. ἄτιμον εἶναι, Eſſe infamem. Demoſth.

ὄνειδος εἶναι { τινί / τινός } Eſſe alicui dedecori.

Diog. Laert. Ἀνάχαρσις ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι Σκύθης ἐστίν, ἔφη, ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρίς, σὺ δὲ τῆς πατρίδος. *Cum Anacharſi ab Attico exprobraretur, quod Scytha eſſet: at mihi, inquit, dedecori eſt patria, ſed patriæ tu.*

μιαίνειν χεῖρας { αἵματι / φόνῳ } Commaculare manus ſanguine, Polluere cæde. Luc. & Herodian.

Laertius in Solone, ἐάν τις μὴ τρέφῃ γονεῖς ἄτιμος ἔστω. *Si quis non nutrit ſuos parentes, is ſit infamis.*

Aſpergere vel inurere alicui maculam, calumniam.

προστρίβειν {

τινὶ διαβολήν: vt,

Plutarch. τῇ μητρὶ προστριβόμενος αἰσχρὰν διαβολήν. *Matri turpem calumniam aſpergens.*

τινὶ τὰς αἰτίας, ὧν, &c.

Plutarch. αὐτὸς δ' ὧν ἐνεκαλεῖτο, τὰς αἰτίας τῇ Φουλβίᾳ προσετρίβετο. *Fuluiam criminibus aſpergebat, de quibus ipſe accuſabatur.*

τινὶ ὄνειδος. Probrum vel maculam alicui inurere. Plutarch.

}

A D

ADIVNCTA.

¶ *Dedecorare, Vide Infamia.*

οὐδένα τῶν προγόνων καταισχύνειν. Plat.in Charm.nulli maiorum dedecori eſſe.Et Lucian. καταισχύνειν τὸν πατέρα, καὶ ἀνάξια πράττειν τοῦ γένους parenti ſuo probro eſſe,ac maioribus ſuis indigna perpetrare.

καταισχύνειν τὸ κάλλος. dicitur Luciano,qui corporis pulchritudini vitæ probitate minime reſpondet.

τὸ τῶν προγόνων ἀξίωμα καθαιρεῖν ἔργοις ὑπεναντίοις. Philo.maiorum decus & gloriam turpibus facinoribus obliterare.

ὑβρίζειν, Philo.idem quod αἰσχύνειν. τὰς δυνάμεις, ἃς ἔσχον διὰ παιδείας, ὑβρίσαντες ἔν τε ποιήμασι καὶ τοῖς καταλογάδην συγγράμμασι, doctrinæ ſuæ vim ac facultatem ſcribendo dedecorarunt,turparunt, hoc eſt,imparem ſtilum eruditioni habuerunt.

τῇ κακίᾳ τρόπων ὅσον ἐν τῷ γένει λαμπρὸν ἐξαμαυροῦντες, καὶ σβεννύντες. Philo.morum turpitudine omnem maiorum ſuorum ſplendorem obſcurantes & extinguentes.

αἰσχρόν ἐστι πατρῴαν δόξαν ἐν σοὶ καταλύσαι, Demoſth. turpe eſt tibi paternam gloriam in te deſinere,interire.

τῆς τῶν προγεγονότων ἀνδραγαθίας ἐξιστάναι, Bud. à maiorum virtute deſciſcere.

τὴν δόξαν τῶν προβεβιωμένων ἐκχέαι, Plato. vitæ anteactæ gloriam effuderunt.

Decus. ornamentum. κόσμος.

Plutarch. ἀνὴρ δίκαιος καὶ νοῦν ἔχων, κόσμος ἐστὶ τῇ πατρίδι. *Vir bonus & prudens,eſt decus & ornamentum patriæ,Vel,eſt patriæ ornamento.*

Demoſt. κόσμοι τῆς πόλεως, οἰκοδομήματα, λιμένες. *Ornamenta ciuitatis ſunt,ædificia,& portus.*

ἔντιμος, Clarus, ἄδοξος, Obſcurus.

Demoſthen. οἱ μὲν ἐκ πτωχῶν πλούσιοι, οἱ δ᾽ ἐξ ἀδόξων ἔντιμοι γεγόνασι *Alij quidem ex mendicis facti ſunt diuites,alij ex obſcuris clari.*

¶ Iudicare,Ius dicere.

δικάζειν.

Iudicare,Ius dicere,Iudicis officio fungi.
κακῶς καὶ ἀδίκως.Malè & iniuſtè iudicare.Luc.
τὰ δίκαια.Iuſta & æqua pronuntiare,Demoſth.

δικάζειν
τι ἀξίως τῶν νόμων. Vt leges postulant iudicare Demosth.
κατὰ τοὺς νόμους. Secundum leges iudicare. Demosth.
περὶ ψυχῆς De vita hominis iudicare. Iſocr.
τινὶ (cum datiuo perſonæ) Ius alicui dicere. Plato.

In paſſiuo.

ἀδίκως ἐδικάσθη τὰ κριθέντα. *Perperam lata eſt ſententia.* **Demoſthenes.**

Lis conteſtata eſt, ἀνέστηκεν ἡ δίκη. Hinc ἀνεστηκυῖα δίκη.

κρίνειν.

κρίνειν
Iudicare, Ius dicere (abſolutè) vt,
Menander. κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ. *Accuſare & iudicare ſimul, fas non eſt.*
τινὰ (cum accuſatiuo perſonæ) Iudicium de aliquo facere. Plato.
τὰ φεύγματα Demosth.
περί τινος (de re & perſona) Plato.
κατὰ τοὺς νόμους. Secundum leges iudicare. Demosth.
καλῶς καὶ νομίμως. Rectè & ſecundum leges iudicare.
κρίσιν τι βίου ὀρθῶς. Rectum iudicium de vita alicuius ferre. Plato.

κρίσεις ποιεῖσθαι.

κρίσεις
ποιεῖσθαι Iudicare, Pronunciare. Iſocr.
ποιεῖσθαι πρὸς χάριν. Ad gratiam, vel ſecundum gratiam & fauorem iudicare. Iſocr.
ποιεῖσθαι περί τινος. De aliquo iudicare. Iſocr.

Dicunt & κρίσιν ποιεῖσθαι, in numero ſingulari in eadem ſignificatione.

κριτὴς
δικαστὴς
ὁ δικάζων
διαιτητὴς
δοξαστὴς
βραβευτὴς
διαγνώμων
ἐπικρίτης
Iudex, Arbiter. *Iuge. Arbitre.*

Æquus æſtimator δίκαιος λογιστής. Demosth.

δικαστήριον Iudicium, Curia, Prætorium.

δῆσαί τινα καὶ τῷ δικαστηρίῳ παραδοῦναι. Vincire aliquem & tradere iudicio.

εἰργμένοι
εἰρχθέντες
Vincti.

A D-

ADIVNCTA.

¶ *Iudicium rectum ferre.*

θεῖναι ψῆφον. Plat. in Apol. ſententiam ferre. ὀρθῶς, καὶ δικαίως τίθεσθαι τὴν ψῆφον. Demoſth.

ὀρθῶς τὴν δίκην δικάσαι, idem in Crit. recte de cauſa pronunciare.

καλῶς τὴν δίκην ἐδίκασας Luc. τὸ δ' ὀρθὰ δικάζειν, idem quod ὀρθῶς καὶ ὁσίως τὴν δίκην δικάζειν εἰ τὰ δίκαια αἱ Μοῦσαι δικάσαι ἐθέλοιεν, Lucian. ſi Muſæ incorrupte atque integre iudicare vellent.

τὴν δικαίαν ψῆφον ἐπενεγκεῖν, idem. id eſt, τίθεσθαι τὴν κρίσιν ὀρθῶς, καὶ ἀδωροδόκως ἐξενεγκεῖν, Baſil. κατ' οὖν τὴν ψῆφον ἐκφέρεις; Chryſoſt.

ἐπιτυχεῖν τῆς πρεπούσης κρίσεως, idem. æquam ac congruentem ſententiam ferre. ad verbum, aſſequi.

τὰ δίκαια καὶ ἀληθῆ κρίνειν, Plat. leg. 8. id eſt, δικαίως καὶ ἀληθῶς κρίνειν.

μήτε πρὸς ὀργὴν, μήτε διαβολὴν τὸ δίκαιον κρίνειν, Luc. nec iram, nec calumniam ad iudicandum adhibere.

¶ *Iudicium iniquum.*

ἀδίκως ὑπ' αὐτῆς ἀπόλλυνται, Plato in Gorg. iniquo ab ea iudicio circumuenti pereunt.

ἐξήλεγξεν ὡς ἀδίκως ἐδίκασαν τεκμηρίοις, Demoſth. perſpicuis argumentis iudices inique pronunciaſſe demonſtrauit.

ὁ δὲ Μίνως μίαν τινὰ πρὸς χάριν ἐδίκασε δίκην. Lucia. at Minos in vna duntaxat cauſa fauore ductus eſt ad iudicandum.

τὰς κρίσεις πολλάκις ἐπισφαλεῖς ποιεῖσθαι, Suid. in ſententia ferenda per ſæpe labi.

κτείνεις ἄνδρας ἐπ' οὐδεμιῇ αἰτίῃ ἀξιοχρέῳ ἑλών, Herodot. homines nulla iuſta cauſa obtruncas.

¶ *Iudicium pecuniis corruptum.*

ἐπ' ἀργυρίῳ τοὺς νόμους προΐεσθαι, Demoſth. legum religionem ob pecuniam prodere vel deſerere.

ὅν γε μὴ σὺ δωροδοκήσας πείσεις ὑπὲρ σοῦ ψηφίσασθαι, idem. quem quidem muneribus haudquaquam adduces, vt ſecundum te iudicet.

πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν δικάζειν, Lucia. ἐπὶ μισθῷ δικάζειν, iudicij religionem pretio addictam habere.

τὴν ψῆφον χρημάτων ὠνεῖσθαι, Suid. iudicum calculos pecuniis emere.

¶ Decernere, Sententiam ferre.

ψηφίζεσθαι

βοήθειαν. Decernere auxilium. Demoſth.

τὴν εἰρήνην. Pacem decernere. *Iſocr.*

Cicero. Cùm Senatus triumphum Africano decerneret, id eſt, ψηφιζομένης τῆς συγκλήτου βουλῆς τῷ Ἀφρικανῷ θρίαμβον.

πόλεμον πρός τινα. *Bellum decernere contra aliquem. Iſocr.*

τἀναντία Θηβαίοις *Decernere contraria Thebanis. Iſocr.*

ὥστε μὴ ἴσων ἕκαστον τυγχάνειν. Decernere ne ſinguli ſint eodem iure. *Xenoph.*

οὐ κατὰ χάριν, ἀλλὰ κατὰ ὅρκους. Decernere non ſecundum gratiam, ſed ſecundùm iuramenta. *Demoſth.*

ψήφισμα: vt, *Demoſth.* τὰ τότε ψηφισθέντα ψηφίσματα. *Olim facta decreta.*

τὰ δίκαια περί τινος. Decernere quod iuſtum ſit de aliquo: Iſocr.

τὰ δίκαια ὑπέρ τινος (in eadem ſignificatione) vt,

Iſocr. δέομαι ὑμῶν, καὶ ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ ἐκείνων, τὰ δίκαια ψηφίσασθαι. *Oro vos, vt mea, & illorum cauſa æquam ſententiam feratis.*

τι κατὰ νόμους. Secundùm leges aliquid decernere. Demoſt.

ὀρθῶς, καλῶς, ὁσίως. Demoſth.

στεφανῶσαί τινα (cum infinitiuo) Decernere, vt aliquis corona ornetur: vt,

Demoſth. ὧν ἀκούσαντες ὑμεῖς ἐψηφίσασθε τὰς ναῦς καθέλκειν τοὺς τριηράρχους. *Quibus auditis decreuiſtis vt trierarchæ naues deducerent.*

Iſocr. αὐθ' ὧν ὑμεῖς ἐψηφίσασθε ἡμᾶς στεφανῶσαι:

Iſocr. τὰ περὶ τῆς εἰρήνης ψηφισθέντα. *Quæ de pace decreta ſunt.*

τὰ δεδογμένα
τὰ ψηφισθέντα } Decreta, *Sentences, Decrets.*
τὰ ψηφίσματα

Dem. ψήφισμα οὐδενός ἐστιν ἄξιον, ἂν μὴ προσγένηται θέλειν τὸ ποιεῖν ἐκεῖνο δόξαντα προθύμως. *Decretum nullius pretij eſt, niſi executio & obedientia ſequatur.*

ψήφισμα ἀναγιγνώσκειν. Decretum legere, recitare. Dem.

ὁ σώζων ψῆφος. Sententia abſolutoria, quæ & λευκὴ dicitur. Lucian.

Sententiam vel ſuffragium ferre.

τίθεσθαι, ὡς χρὴ, &c. *Plato,* Θηβαῖοι ἔθεντο τὴν ψῆφον, ὡς χρὴ τὴν χώραν ἐξανδραποδισθῆναι. *Thebani ſententiam tulerunt, regionem noſtram euertendam eſſe.* *Demoſt.*

Demoſth. δικαίως θέσθαι ψῆφον. *Iuſtè ſententiam ferre.*

ψῆφον

ὁσίαν καὶ δικαίαν ὑπὲρ τῆς πατρίδος θέσθαι. Sanctum & æquum ſuffragium pro patria ferre. Demoſth.

Idem, ψῆφον ἐναντίαν ἔθεντο. *Contrariam ſententiam tulerunt.*

φέρειν (*abſolutè*) *ſuffragium ferre. Iſocr.*

φέρειν vel διαφέρειν περί τινος: vt, ἀφέμενος τούτων, περὶ ὧν οἴσετε, τὴν ψῆφον, πειράσομαι ὑμᾶς διδάσκειν, *His omiſſis, de quibus ſententiam feretis, vos erudire conabor.*

εὔορκον φέρειν. Iuſtum ſuffragium ferre. Demoſth.

ἐπιτρέπειν. Permittere iudicibus, vt ſententiam ferant. Ferendi ſuffragij poteſtatem facere.

¶ Decreui, Conſtitui, Propoſui dicere, Mihi deliberatum & conſtitutum eſt agere, &c.

εἱλόμην
προειλόμην
προῄρημαι
ἐπικεχείρηκα
δέδοκταί μοι
δεδογμένον ἐμοί ἐστι

λέγειν, γράφειν, ἀπιέναι. Decreui, conſtitui, propoſui dicere, ſcribere, abire. Demoſt. Iſoc. *I'ay delibere de dire d'eſcrire, de m'en aller, &c.*

Iſocr. εἱλόμην πρός σε γράψαι περὶ Διοδότου. *Conſtitui ad te ſcribere de Diodoto. Idem,* διὰ τοῦτο προειλόμην ποιήσασθαι πόρρωθεν τὴν ἀρχήν. *Ideo decreui altius petere exordiū. Idem,* ἐπικεχείρηκα λέγειν περὶ τῆς πόλεως. *Inſtitui verba facere de Republica. Idem.* ὑμῖν μὲν μηδὲν τῶν σωμάτων τῶν ὑμετέρων δέδοκται φροντίζειν. *Vobis deliberatum & conſtitutum eſt nullam corporum noſtrorum rationem habere. Plato.* οὕτω δέδοκταί μοι. *Sic decretum eſt mihi. Sic ſtatui. Idem,* εἰ τοῖς μὲν συνεχῶς μετὰ τῶν Λακεδαιμονίων γεγενημένοις δεδογμένον ἐστὶ βοηθεῖν, *Si vobis certum deliberatumque eſt, illis qui perpetuo Lacedæmonis adhæſerunt, opem ferre.*

ἐν νῷ ἔχειν. In animo habere.

Plato, ταῦτα εἰπὼν Θρασύμαχος ἐν νῷ εἶχεν ἀπιέναι. *Cùm hæc dixiſſet Thraſymachus, in animo habebat abire.*

ὑποτίθεσθαι.

Iſocr. ὑπεθέμην περὶ τῶν ὅλων ἐρεῖν. *Propoſui (in exordio) de omnibus verba facere.*

¶ Delere, Diluere, Abſtergere.

ἀποτρίβεσθαι
τὴν ἀδοξίαν. Maculam ignominiæ delere. Dem.
τὰς διαβολάς. Calumnias diluere, abſtergere Idem.
Pro quo etiam dicitur ἀπολύσασθαι τὰς διαβολάς, *apud D.*

2. ἐξαλείφειν.

ἐξαλείφειν.
τοὔνομά τι: Delere nomen aliquod Demoſth.
τινὰ ἐκ τοῦ καταλόγου: vt *Xenoph.* Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου. *Theramenem hunc deleo ex catalogo.*
τινὰ λόγον, ἢ κατακαίειν. Delere orationem aliquam, aut comburere. Iſocr.
τὰς φιλίας. Amicitias delere: vt,
Iſocr. τὰς τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειε. *Bonorum hominum amicitia nulla ætas delere poteſt.*
τὸ γινώσκειν καὶ συνιέναι τὰ δίκαια. Notionem æqui & boni ſeu honeſtorum & turpium delere. Demoſth.

¶ ἀναγράφειν εἰς τὸν Πεισάνδρου κατάλογον. Referre in catalogum Piſandri. Iſocr.

ἀναγράφεσθαι. In acta referre. Bud.

¶ Deflectere, Declinare.

ἐκκλίνειν.
ἐπὶ τὴν ἔλλειψιν ἢ ὑπερβολήν. Deflectere ad id quod parum aut nimium eſt. Ariſtot.
ἐπὶ τὸ ῥᾳθυμεῖν. Ad ſocordiam ſe flectere. Demoſth.
πρὸς τὰς ἡδονάς. Ad voluptates declinare. Ariſtot.

Cogere, ἀναγκάζειν, βιάζεσθαι.

Iſocr. ὁ μὲν πόλεμος πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε. *Bellum multa pericula ſuſtinere coegit.*

Demoſth. βιάζεσθαι μὴ βουλομένους. *Cogere nolentes.*

Iſocr. βιαζόμεθα τὰς πόλεις συντάξεις δοῦναι. *Cogamus ciuitates dare tributum.*

Demoſth. πολλὰ δουλικὰ πράγματα τοὺς ἐλευθέρους ἡ πενία βιάζεται ποιεῖν. *Multas ſeruiles operas ingenuos homines paupertas facere cogit.*

Idem. βιασθεὶς ἄκων ἔπραξε. *Coactus præter voluntatem fecit.*

In paſſiuo.

Demoſth. οὐ μὲν ἑκόντες, ἀλλ' ἀναγκασθέντες αὐτοῖς ἐδουλεύομεν. *Non quidem ſponte, ſed coacti illis inſeruiebamus.*

¶ Delectari, Gaudere, Lætari, Voluptate affici.

ἥδεσθαι.

τούτοις. His rebus delector. Demoſth.

Plutarch. ὁ μὲν ἥδεται τοῖς καλοῖς, ὁ δὲ οὐκ ἄχθεται τοῖς αἰσχροῖς. *Alius delectatur rebus honeſtis, alius non offenditur turpibus. Hic* ἥδεσθαι *&* ἄχθεσθαι *opponuntur.*

Demoſth. ἀκούσας ταῦτα ἥσθη τοῖς λόγοις, καὶ ἐπῄνει τοῦτον. *Audiens hæc, delectatus eſt oratione, & laudauit hominem.*

ἥδομαι.

Ad eundem modum & compoſitum ἐφήδομαι
vſurpatur: vt,

Iſocr. ἐφησθησόμενοι ταῖς ἡμετέραις συμφοραῖς. *Gauiſuri noſtris miſeriis.*

ἀκούων καλῶς (cum participio) Lætor me laudari. Plutarch.

ἐπὶ τοῖς καλοῖς. Rebus bonis delector. Xenoph.

ὅτι ἐπῆλθες Gaudeo quod aduenisti. Ariſtoph.

ἡδονάς. (cum Accuſatiuo Atticè) vt,

Plato, in Philebo, πάσας ἡδόμενος ἡδονάς. *Pro quo Cicero: Omnibus lætitiis lætus.*

ἡδονὴν ποιεῖν τοῖς ἐχθροῖς ποιεῖν ὅπως οἱ ἐχθροὶ χαίρωσι	Delectare hoſtes, Adferre lætitiam hoſtibus. Demoſt. *Faire plaiſir à ſes ennemis.*

2. χαίρειν.

Lætor Gaudeo [abſolutè ſeu ſine caſu] vt

Plato, οὔτε χαίρων, οὔτε λυπούμενος ἄγαν φανήσεται. *Neque lætabitur vnquam, neque mærebit nimis, vt Cicero vertit.*

φίλοις ἀγαθοῖς. Delector bonis amicis, Capio voluptatem ex fidis amicis: vt,

Xenoph. οὐδενὶ οὕτω χαίρεις, ὡς φίλοις ἀγαθοῖς. *Ex nulla re tantam voluptatem capis quantam ex bonis amicis.*

Iſocr. πλείστους εὑρήσομεν τῶν τοῖς ἡδίστοις σιτίοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας. *Plurimos inueniemus, qui magis cibis dulciſſimis delectentur, quàm ſaluberrimis.*

Ariſtot. χαίρειν οἴνῳ. *Vino delectari.*

χαίρω.

ὅταν ἀκούω, &c. Gaudeo, cùm audio, &c. Iſocr.

ἐπὶ τοῖς ἀγαθοῖς. Delector bonis. Xenoph.

Demoſth. ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτα ἐλυπεῖτο ὁρῶν. *Quibus alij delectabantur, hæc cùm videret ille dolebat.*

Iſocr. οἱ ἐπιχαιρέκακοι μᾶλλον χαίρουσιν ἐπὶ τοῖς τῶν ἄλλων κακοῖς, ἢ τοῖς ἰδίοις αὐτῶν ἀγαθοῖς. *Homines maleuoli maiorem voluptatem capiunt ex aliorum hominum malis, quam ex propriis bonis.*

ἐπαινούμενος [cum participio paſſiuo] Gaudeo cùm laudor.

Gaudeo me laudari Xenoph.

Æſchin. χαίρει ὁ δῆμος κολακευόμενος. *Gaudet populus, cùm adulationibus titillatur.*

διδοὺς [cum participio actiuo] Gaudeo cùm aliis do. Plut.

Sic Virg. 10. Aeneid. de Leone: Gaudet hians immane.

ταῦτα [cum accuſat.] Gaudeo propter hæc: vt,

Demoſth. ταῦτα λυπεῖσθαι, καὶ ταῦτα χαίρειν τοῖς πολλοῖς. *Iiſdem rebus dolere & gaudere cum populo. Poteſt & præpoſitio* διὰ *ſubintelligi.*

ἐπιχαίρειν τινί. Alicuius malis gaudere, & ei inſultare. Dem.

ἐπιχαίρειν τοῖς κακοῖς τινός. Inſultare malis alicuius. Iſocr. *Hinc* ἐπιχαιρέκακος. Qui alienis malis gaudet & delectatur.

A D I V N C T A.

¶ *Lætitia.*

εὐφραίνεσθαι. τί με δεῖ λέγειν ὅπως εὐφράνθην, Iul. πάνυ τὴν ψυχὴν εὐφραίνετο, Herod. animo perquam læto erat.

ἥδεσθαι, Baſ. ἥσθην, καὶ περιχαρὴς ἐγενόμην, magna lætitia ſum perfuſus.

ἀπὸ βαθείας τῆς γνώμης ἥσθην, Syneſ. intimo pectore gauiſus ſum, Gall. *du fond du cœur*. Et Naz. ἥσθην τοῖς γράμμασι, litteris tuis ſum delectatus.

οὐκ εἶχεν ὅπως χωρήσαιτο τῷ πλήθει τῆς χαρᾶς, Syneſ. de eo, qui tanta voluptate afficitur, vt eam vix capere queat.

ἐκπαθὴς ὑπὸ ἡδονῆς γενομένη, Alci. immodica quadam animi oblectatione affecta.

¶ *Lætitia cum cauſæ adiectione.*

τῇ ἀγγελίᾳ ταύτῃ περιχαρὴς ἐγενόμην, Bud. hoc nuncio exhilaratus ſum.

τοῖς τῆς τιμιότητός σου γράμμασιν ὑπερήσθην, Baſ. litteris tuis magnopere ſum delectatus. ὑπὲρ enim ad auxeſim facit, vt apud Lucianum θαυμάσιον ὡς ὑπερηδόμεθα, καὶ ὑπερεχαίρομεν, eximium, ac mirum in modum lætabamur.

ἐφ' οἷς νῦν λίαν χαίρουσιν, Iſocr. ob quæ nunc lætitia geſtiunt.

ἡσθέντες τῇ παρουσίᾳ τῶν ἀνδρῶν, κρότῳ μεγάλῳ τὸ γεγονὸς ἐπεσημήναντο, Diodor. gaudium, quod ex eorum aduentu ſentiebant, plauſu magno ſignificarunt, vel teſtati ſunt.

ἥδεται μὲ ἐμαυτὸν εἰδὼς ἀτυχοῦντα, Demoſth. id eſt, πάνυ ἥδεται τῇ ἐμῇ ἀτυχίᾳ ἑορτάζειν. Ioſephus de Herode loquens, οἶδα τοὺς ἰουδαίους τὸν ἐμὸν θάνατον ἑορτάσοντας, mortem meam ſumma lætitia celebraturos Iudæos ſcio. *Ils feront feſte de ma mort.*

¶ *Læti-*

¶ *Lætitiam afferre.*

τὰς καρδίας ἡμῶν χαρᾶς ἐνέπλησαν, Baſil. voluptate pectora noſtra impleuerunt.

εὐφροσύνην ἡμῖν ἐνεποίησας, idem. voluptate nos affeciſti.

τὰ γράμματα εὐφροσύνης ἡμῖν αἴτια γίνεται lætitiæ materiam nobis ſuppeditant.

τέρψιν παρασκευάζειν, comparare. afferre. τὸ γοῦν πλείστην παρεσκεύασαν ἡμῖν τέρψιν, Alciph. ἡδονὴν τοῖς ἐχθροῖς παρασκευάζειν. Baſil. id eſt, ἐμποιεῖν. παρασκευάζεσθαι interdum idem quod παρασκευάζειν, Philoſtr. τέρψιν καὶ ὠφέλειαν τῇ ψυχῇ παρασκευάζεσθαι. τέρψιν παρέχειν, vel, παρέχεσθαι. μεγίστην ἡμῖν τέρψιν παρέχεται, Baſil. maximam nobis delectationem præbet. πλὴν ἔμοιγε οὐ τὴν τυχοῦσαν τερπωλὴν παρέχοντο στένοντες, Lucian. vel non vulgarem mihi gemitu ſuo voluptatem conciliarunt.

ἐμπαρέχειν, etiam pro παρέχειν apud Philonem. ἄλεκτον ἐμπαρέχει τῇ ψυχῇ τέρψιν καὶ ἡδονήν, id eſt, ἐμποιεῖ, ἐναπεργάζεται, ineffabilem animæ voluptatem parit.

πάνυ δή με κατηύφραινεν, Lucian. magnam mihi voluptatem afferebat.

ἐνηδύνειν. ἡ μελῳδία τῶν ὀρνέων τὰς ἀκοὰς ἐνηδύνουσα, idem. aures voluptate permulcens, exhilarans.

ἥδιον ἔσεσθε ἀκούσαντες, Demoſthen. Gall. *Vous en ferez plus ioyeux.*

ἡδονὴν φέρειν, Baſil. εἰ μὴ ἡδονήν τινα φέρει θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν. niſi verò volupe eſt, defoſſis theſauris incubare.

τῷ ὄντι ἀμύθητον ὅσην ἡδονὴν εἶχεν ὁ λόγος, Baſ. dici profectò nequit quantum voluptatis hæc oratio afferebat.

¶ Deſperare.

ἀπελπίζειν.

ἀπελπίζω
- τοῦ τυγχάνειν τῆς ἐρωμένης Deſpero me potiturum amica.
- τὸν νοσοῦντα [cum accuſatiuo] Omnem de ægroto ſpem abiicio. Nullam de ægroto ſpem reliquam habeo. Galen.
- ταῦτα. De his deſpero, vel Hæc deſpero. vt apud Ciceronem, Deſperare pacem, ſalutem, &c.

Chryſoſt. ὅτι πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην ὁ θεός, ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον. *Neque Deus in hoc mundo ab omnibus pœnas ſumit, ne vel deſperes de reſurrectione, vel ſpem de futuro iudicio abiicias, quaſi hic omnes rationem reddant.*

2. ἀπογινώσκειν.

ἀπογινώσκειν

Deſperare (abſolutè) vt,

Demoſth. ἀπογνόντες ἑαυτῶν ἐγχειρίσωσιν. *Deſperatione fracti ſe dedidiſſent.*

τοῦ ζῆν. (cum genit.) Deſperare de vita. Diodor. Sic.

Demoſth. εἰ γὰρ μὴ παντάπασιν ἑαυτῶν ἀπεγνώκασι. *Niſi omnino de ſe deſperarint.*

τὴν σωτηρίαν (cum accuſ.) Deſperare ſalutem, vel de ſalute. Ariſtot Eth. 3.

Plutarch. ἐκ προδοσίας ἀπογνόντες τὴν σωτηρίαν. *Cùm deſperare cœpiſſent de recuperanda ſalute propter proditionem.*

ἐκβιάζεσθαι τοὺς πολεμίους (cum infinit.) Deſperare, quod fieri poſſit, vt hoſtes perrumpant. Plutarch.

In paſſiuo.

Plutarch. τὰ Νέρωνος ἀπέγνωστο παντάπασι. *Neronis res deſperatæ erant: hoc eſt, in deſperationem adducta.*

Demoſth. ἄριστός ἐστιν ἰατρὸς, ὃς τοὺς ὑπὸ τῶν ἑτέρων ἀπεγνωσμένους ἀναλαμβάνει. *Optimus medicus eſt, qui à medicis deſperatos, id eſt, illos de quorum ſalute alij deſperant, curandos recipit.*

Æſop. ἐπειδὴ πρὸς ἰατρῶν ἀπεγνώσθη, τῶν θεῶν ἐδεῖτο. *Cùm à medicis deſperatus eſſet, Deos rogabat.* ἀπεγνωσμένη πρᾶξις. *Deſperatum negotium.*

3. ἀθυμεῖν.

ἀθυμεῖν

Deſperare, Animum abiicere: vt,

Iſocr. τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ. *Quis non animo ſuccumberet, quando videt, &c.*

ἐπὶ τούτοις. Propter hæc animum abiicere. Iſocr. in Panath.

τούτοις (ſine præpoſitione) vt,

Iſocr. οὐκ ἀθυμητέον τοῖς παροῦσι πράγμασι. *Non oportet animo eſſe deiecto ob præſentem rerum ſtatum.*

οὐκ { ἀπογνωστέον. Suidas.
οὐκ { ἀθυμητέον.

Iſocr. οὐκ ἀθυμητέον τοῖς παροῦσι πράγμασι, οὐδ᾽ εἰ πάνυ φαύλως ἔχειν δοκεῖ. *Non deſperandum eſt de præſenti rerum ſtatu etſi is omnino malus eſſe videatur.*

ἀθύμως { ἔχειν vel διακεῖσθαι. Abiecto animo eſſe. Iſocr.
ἀθύμως { διάγειν. In anxietate verſari. Iſocr. & Xenoph.

ἀθυμίἀθυμότερον διάγειν διὰ τὰς ἀτυχίας. Propter res aduerſas abiectior animo eſſe. Iſocr.

A D I V N C T A.

¶ *Deſperare.*

ἀπογιγνώσκειν τὰς ἀμείνους ἐλπίδας, Philoſtr. meliorem ſpem abiicere. τῆς πόλεως ἅλωσιν ἀπογιγνώσκειν, Bud. de vrbis expugnatione deſperare.

ἀπογνοὺς πρὸς τὰς ἀλγηδόνας, Chryſoſt. deſperatione affectus ob dolores. Et cum infinitiuo apud Plutarch. ἀπεγίνωσκεν ἐκβιάζεσθαι τοὺς πολεμίους. ἀπολέγεσθαι, Philoſtr. χεῖρας ὑπ' ἀσθενείας καθεῖσα, ἀπολέγεται, manibus præ imbecillitate demiſſis animum deſpondet. ἀπολέγεσθαι τὴν ψυχὴν, Greg. idem quod ſimpliciter ἀπολέγεσθαι.

πρὸς ἀπόγνωσιν σωτηρίας τρέπεσθαι, Phil. ſalutem deſperare.

εἰς ἀπόγνωσιν ἐμβαλεῖν, Æſch. in deſperationem iniicere.

πᾶσαν ἀγαθὴν ἀπορρίπτειν ἐλπίδα, vel, ἀποκόπτειν, Baſ. ſpem omnem meliorem proiicere.

ἐν σκυθρωποτέρᾳ καταστάσει ἀπελπίζειν ἑαυτὸν, idem. ſibi diffidere.

εἰς ἀπόγνωσιν ἔρχεσθαι παντελῆ, idem in omnimodam deſperationem venire. καταπροΐεσθαι τὰς ἐσχάτας ἐλπίδας, Syneſ. extremas ſpes abiicere.

αὐτοῖς οὐδεμία ἦν ἐλπὶς ἀποφεύξεσθαι, Antiph. de abſolutione prorſus deſperabant. τὸ μέγιστον τῶν κακῶν, ὃ καί μοι δυσέλπιστον τὸν βίον ποιεῖ, Syneſ. omnium malorum grauiſſimum, quódque mihi vitæ deſperationem propemodum affert. τοῦτο δὲ οὐ παντάπασιν ἀνέλπιστον ἦν αὐτῷ. Ariſtid. hoc autem non prorſus deſperabat.

οὐκ ἀπέκαμεν, οὐδ' ἀπέγνω πράγματα, Temiſt. non animo concidit, nec rerum ſuarum deſperatione affectus eſt.

εἰς ἀπόνοιαν καθεστήκασι. Thucyd. καὶ εἰς ἀπόγνωσιν.

μὴ ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπονενοημένους, idem. non dimicationis aleam ſubire cum hominibus deſperatis.

τῆς ἐφεξῆς παντελῶς ἀπογνῶναι, Baſil. μηδεὶς ἑαυτὸν ἀπογινωσκέτω, idem. id eſt, ἀπελπιζέτω.

¶ Deficere, Deeſſe, Deſtitui re aliqua.

ἐπιλείπειν.

με τοῦτο (cum duobus accuſ.) Hoc me deficit, vt.

Demoſth. καὶ τὰς κρήνας καὶ τὰ φρέατα τὸ ὕδωρ ἐπιλείπειν πέφυκεν, ἐάν τις ἀπ' αὐτῶν ἀθρόα καὶ πολλὰ λαμβάνῃ. *Et fontibus &*

ἐπιλείπειν

puteis aqua deficere ſolet, ſi quis continuè & multa ab illis ſumat.

Iſocr. ἐπιλείποι ἂν ἡμᾶς ὁ πᾶς χρόνος εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα. *Deficeret nos totum tempus, ſi omnia eius facta recenſere vellemus.*

Demoſthen. ἐπιλείψει με λέγοντα ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. *Dies me deficiet recenſentem nomina proditorum.*

μοι τοῦτο (cum datiuo) vt,

Syneſ. οὐκ ἀπολείψουσι στρατιῶται τῷ Θεῷ. *Deo non deficient milites.*

πνεῦμα (abſolutè) Spiritus deficit: vt,

Demoſth. πνεύματος ἐπιλείποντος. *Spiritu deficiente.*

Demoſt. οὐκ ἐφικνεῖ χρόνος τοῖς λεγομένοις. Non ſufficit tempus ad ea quæ dicenda ſunt.

2. ἀπολείπειν.

ἀπολείπειν

Deficit [neutraliter] vt,

τὰ μὲν [χρήματα] ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. *Pecunia citò deficit, illa autem (honor & gloria) perpetuò durant.*

μοι τοῦτο. Hoc mihi deeſt. Hac in re inferior ſum.

Plutarch. τούτῳ γὰρ μόνῳ ἀπολιπεῖν ἐδόκει τοῦ κατεργάσασθαι Πάρθους.

σε ταχέως τὰ χρήματα. Te citò deficiunt nummi. *Qua tamen conſtructione frequentius vſurpatur* ἐπιλείπει, *quàm* ἀπολείπει

Aeſchines. οἱ πρεσβύτεροι τὸ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτῶν ἄρχεται ἀπολείπειν, διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. *In natu maioribus viget prudentia, audacia verò eos deficere incipit propter vſum rerum.*

τι εὐδαιμονίας Deeſt ei aliqua pars felicitatis: vt,

Iſocr. τί ἀπέλιπεν εὐδαιμονίας, ὃς τοιούτων μὲν προγόνων ἔτυχε; *Qua felicitatis pars ei defuit, qui tales maiores habuit?*

3. ἐλλείπειν.

ἐλλείπειν

ἔν τινι. In aliqua re deficere: vt,

ἐλλείπειν ἐν τούτοις αἱροῦ, καὶ μὴ πλεονάζειν. *Deficere in his rebus potius velis, quam excedere modum.*

μοι τοῦτο δοκεῖ. Deficere me hoc videtur.

Polyb. lib. 5 ὅταν ἐλλείπωσιν αἱ χορηγίαι τὰς ἐκ ἴσων ἐπιβολάς.

τούτου [cum genitiuo] Deſtitui hac re. Thucyd.

4. ¶ De-

4. ¶ Deſtitui rebus.

ἀπολελειμμένος

ἅπασι τούτοις (cum datiuo) His rebus omnibus deſtitutus. Iſocr. in Buſir.

Idem in Euag. Εὐαγόρας πάσαις ἀπολελειμμένος ταῖς δυνάμεσι. *Euagoras his viribus omnibus deſtitutus.*

ταύτης παιδείας (cum genitiuo) Hac inſtitutione deſtitutus. Iſocr.

¶ Sic & ἀπολείπομαι: vt,

Iſocr. οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τοῖς ἰδίοις πράττουσι. *Non deſtituuntur occaſione, hoc eſt, non negligunt occaſiones, ſed omnia ſuo loco & tempore faciunt.*

6. ἀπορεῖν.

Iſocr. ὥστε οὐκ ἀπορήσομεν μεθ' ὧν κωλύσομεν τοὺς ἐξαμαρτάνοντας. *Quare non deſtituemur hominibus, quibus cum coerceamus delinquentes. Hic* ἀπορήσομεν, *ſine caſu ponitur, ſed poteſt genitiuus aliquis ſubaudiri.*

ὑστερίζειν τινός. Deſtitui vel carere re aliqua, *vtpote* τῆς ἀκμῆς, *veluti ſenes. Iſocr.*

ἔρημος, γυμνός.

ἔρημον εἶναι ἀνδρῶν φίλων καὶ πιστῶν. *Deſtitutum eſſe viris amicis & fidis. Plato.*

Aliquando ἔρημος & γυμνός copulantur.

Iſocr. ἀλλὰ τῶν προειρημένων ἁπάντων ἔρημος γίνεται καὶ γυμνός. *Sed prædictis his omnibus caret ſeu deſtitutus eſt.*

A D I V N C T A.

¶ *Carere.*

ἀπορεῖν χρημάτων παντελῶς ἀπορεῖν Baſil. ἀπορῶν ὅ, τι ἐγκαλοίης ἐμοὶ ἀληθὲς ἀδίκημα, Plat. in Apolog. crimen nullum habens, quod in me vere conferre queas.

διαπορεῖν, idem quod ἀπορεῖν. οὐκ διαπορεῖν ἀργυρίου, Demoſth. μηδενὸς διαπορῶμεν ἐς γε τὸ παρόν, Luc. nunc quidem omnibus rebus caremus.

σπάνει χρυσίου ἀπόλλυσθαι Plat. auri penuria perire. σπανίζειν χρημάτων, pecuniarum inopia laborare.

ἐμοὶ μὲν οὐκ ἔτυχε παρὸν ἀργύριον, Demoſt. mihi quidem minime in promptu erat pecunia. ἀργύριον μὲν ἐμοὶ οὐ πάρεστιν, idem. pecunia mihi non ſuppetit. ἔρημον εἶναι θεραπεύοντος τὸ νόσημα. idem. non habere qui morbum curet. medico deſtitui, ἐν ἐρημίᾳ εἶναι τοῦ ἰατροῦ.

καθ' ἡμᾶς οὔτω πένητες εὐλόγου ἀπολογίας, Luc. probabili defenſione non ita deficimur.

ἀμηχανεῖν, idem quod ἀπορεῖν. ἀμηχανήσεις χρήματος οὐδενός, Herod. nulla re egebis. ᾧ δὲ μηδὲν ἄπεστι τῶν ἱκανῶν, Plat. cui ad mediocrem vitam nihil deeſt. verbum ἔχειν eleganter ad huiuſmodi res adhiberi ſolet, vt ἐνδεῶς ἔχειν χρημάτων, vel, ἀπόρως ἔχειν χρημάτων, pro δεῖσθαι, vel ἀπορεῖν. Atque item verbum καθίστασθαι, vt, ἐν ἐνδείᾳ καθίστασθαι τῆς ἀφθονίας ταύτης, apud Chryſoſtomum, ἐν σπάνει σιτίων καθίστασθαι.

¶ Pro dignitate rei, Ex dignitate, Vt res merentur, Pro merito, vel meritis.

1. κατ' ἀξίαν.

Ariſtot. τυγχάνειν βίου τοῦ κατ' ἀξίαν. *Sequi & degere vitam pro dignitate, vel vt quis meretur.*

2. κατὰ τὴν ἀξίαν.

κατὰ τὴν ἀξίαν τιμᾶσθαι. *Pro dignitate & merito honorari. Plato.*

3. ὑπὲρ τὴν ἀξίαν.

Vltra quàm meremur, præter meritum. Iſocr.

παρὰ τὴν ἀξίαν δυστυχεῖν. Præter meritum affligi, vel aduerſa fortuna vti.

παρὰ τὴν ἀξίαν εὖ πράττειν. Præter meritum, id eſt, indignè florere. Iſocr.

¶ Dignum iudicare.

τιμᾶσθαι.

ἀξιοῦν
τῆς ἐν Πρυτανείῳ σιτήσεως. Dignum iudicare aliquem, cui victus præbeatur in Prytaneo. Plato.
τινὶ θανάτου. Morte aliquem dignum iudicare. Plat.
θανάτου: vt,
Aſchin. θανάτου τιμῶμαι. *Meipſum morte dignum eſſe cenſeo.*
τινὰ τῆς ἐν Πρυτανείῳ σιτήσεως. Cenſere aliquem dignum, qui in Prytaneo alatur. Lucian. in Caucaſo.
τὴν δίκην τῆς σιτήσεως: vt,
Diog. Laert. in Solone. ἕνεκα τῶν ἐμοὶ πεπραγμένων ἀξιοῦν τιμᾶσθαι
τὴν τῆς

τιμῶ τῆς ἐν Πρυτανείῳ δίκην σιτήσεως. *Propter res à me geſtas dignus ſum hac pœna, Vt in Prytaneo mihi victus præbeatur.*

2. ἀξιόω.

Iſocr. Θεμιστοκλέα μεγίστων δωρεῶν ἠξίωσαν. *Themiſtoclem ingentibus muneribus dignum iudicarunt.*

3. ἀξιόομαι.

ἀξιοῦμαι

ἀριστείων (cum genitiuo) Dignus præmijs victoriæ iudicatus eſt: vt.

Iſocr. οἱ μὲν πεζομαχοῦντες ἀριστείων ἠξιώθησαν. *Hi pedeſtri prælio pugnantes digni præmiis victoriæ iudicati ſunt.*

κληθῆναι δίκαιος. Dignus habitus eſt, qui iuſtus vocaretur (cum infinitiuo) vt,

Iſocr. ἀξιωθεὶς διὰ σωφροσύνην τοῦ Διὸς κληθῆναι κηδεστής. *Propter modeſtiam dignus iudicatus eſt, Vt Iouis affinis vocaretur*

ποιεῖν vel πράττειν

πρέποντα τῇ συγγενείᾳ ἢ ἑαυτοῦ. Digna facere ſua cognatione, aut ſeipſo. Iſocr.

ἄξια τοῦ γένους. Facere digna genere & familia. Demoſth.

Faire choſe digne du lieu d'où on eſt ſorti.

ἄξιός ἐστιν εὖ παθεῖν, μισεῖσθαι. Dignus eſt qui beneficiis ornetur, qui odio habeatur, &c. Iſocr. Demoſth.

¶ Dignè, Pro dignitate. Vt decet.

ἀξίως.

ἀξίως

εἰπεῖν περὶ τῶν πραγμάτων. Pro dignitate de rebus dicere. Iſoc.

τῶν πραγμάτων λέγειν [cum genitiuo] Dignis modis, vel, vt decet de rebus loqui. Iſocr.

Idem, ἐγὼ δ᾽ ἂν μὴ καὶ τοῦ πράγματος ἀξίως εἴπω καὶ τῆς δόξης τῆς ἐμαυτοῦ.

ὑμῶν αὐτῶν πράττειν [cum genitiuo perſonæ] Facere vt nos decet, vt nobis vel noſtra perſona dignum eſt. Demoſth.

πράττειν τῶν γονέων ἀξίως. *Idem.*

τοῦ ἀδικήματος [in malam partem] Pro dignitate ſceleris, Vt meretur ſcelus. Æſchines.

λόγου μάχεσθαι. Pugnam memoratu dignam edere, Ita pugnare, vt res ſit digna commemoratione. Pro quo dicunt & ἀξιολόγως, vnico verbo.

¶ Dubitare, Ambigere.

Ἀπορεῖν.

ἀπορῶ

Dubius animi ſum, Neſcio quid agam: vt,

Iſocr. ἀπορῶν δὲ καὶ μηδεμίαν ἀπαλλαγὴν εὑρίσκων διαφθείρει τὰ γράμματα. *Cum neſciret, quomodo ſe expediret, tabulas corrupit.*

τοῖς παροῦσι πράγμασι. Neſcio quid agendum ſit. Iſocr.

τὴν αἰτίαν. Dubito quæ cauſa ſit. Ariſtot.

Xenoph. ἐάν τι ἀπορῶ, πρὸς ὑμᾶς ἰέναι εἴωθα. *Si quid dubitem neſciens quid mihi agendum ſit, ad vos ire ſoleo.*

τίνα χρὴ τρόπον πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. Dubito ſeu incertus ſum quomodo de iis apud vos dicendum ſit. Demoſthenes. Olynth. 3.

ὅ τι χρὴ ποιεῖν. Neſcio quid agendum ſit. Xenoph.

τί ποιήσω. Incertus ſum quid agam. Iſocr. de pace.

πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν τῶν κοινῶν πραγμάτων. Dubito, vel incertus ſum, vtrum vos nihil Rempub. curare exiſtimem. Idem.

Xenoph. ἀπορῶ πότερόν μοι κρεῖττον. *Incertus ſum, vtrum mihi melius ſit.*

ποῖ τραπώμεθα. Neſcio quò nos vertamus. Xenoph.

ὅπῃ ποτὲ διαφύξομαι. Incertus ſum quonam effugiam. Luc.

τίνος ἐν τῷ παρόντι πρέπει μνησθῆναι. Hæſito ſeu dubito, cuius in præſentia deceat meminiſſe.

Sed pro ἀπορῶ etiam διαπορῶ vel διαπορέομαι vſurpatur.

2. Ἄπορον εἶναι, In dubio eſſe: vt,

Iſocr. Ἄπορον ἡμῖν ἐστὶ τὸ πρᾶγμα. *Hoc negotium nobis incertum vel in dubio eſt.*

εἰς ἀπορίαν καθίστασθαι. In dubium vocari. In dubio eſſe. Iſocr.

3. ἀμφιγνοεῖν.

Ἀμφιγνοεῖν

περί τινος. De aliqua re dubitare. Iſocr. ad Nicocl. *Eſtre en doute de quelque choſe.*

ἐπί τινος. Dubitare de aliquo. Plato.

ἀμφισβητεῖν περί τινος. De aliqua re dubitare: vt,

Iſocr. ἀμφισβητοῦσι περὶ τῶν τῆς ψυχῆς γυμνασίων οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες. *Sapientiæ profeſſores dubitant de animi exercitiis.*

4. ἀμφισβητεῖν πότερον.

Iſocr. πολλοὶ ἀμφισβητοῦσι, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον τῶν ἰδιωτευόντων, ἢ τῶν τυραννευόντων. *Multi dubitant, vtrum ſit potius eligenda priuatorum hominum vita, an tyrannorum ſeu principum.*

Plutarch. πρότερον μὲν, ἔφησεν, ἠμφισβήτουν, νῦν δὲ αἰσθάνομαι, ὅτι *&c. Antea quidem, inquit, dubitabam, nunc autem ſentio, quod.*

ἀμφίβολος	λόγος. Dubia oratio. Iſocr.
	φήμη. Dubius rumor. Plutarch.

τοῦτο ἀμφισβητεῖται. De hoc controuerſia eſt, De eo contenditur, Hoc in controuerſiam vocatur.

ἠμφισβητημένα. Res de quibus diſceptatum fuit, Res controuerſæ. Iſocr. *Opponuntur autem* ὁμολογούμενα, *&* ἀμφισβητούμενα. *apud Iſocratem.*

λόγος	ἀμφίβολος	Oratio flexiloqua (quæ in vtramque partem flecti poteſt.) Iſocr. *Qui ſe peut entendre en deux façons.*
	ἐπαμφοτερίζειν δυνάμενος	
	ἀμφισβητήσεις ἔχων	

¶ Non dubium eſt, quin οὐκ ἔστιν ὅπως οὐ. οὐκ ἄδηλον ὅτι.

Iſocr. οὐκ ἔστιν ὅπως οὐ μαίνεσθαι δόξεις ἅπασι τοῖς ἀκούουσι. *Non eſt dubium, vel, Non poteſt fieri, quin omnibus auditoribus furere videaris.*

Idem, οὐκ ἄδηλον ὅτι τῶν πολεμίων κρατήσομεν. *Non dubium eſt, quin hoſtes victuri ſimus.*

Ariſtot. οὐκ ἄδηλον δ' ὅτι τῷ μὲν δόσει ἕπεται τὸ εὖ ποιεῖν. *Non autem eſt dubium, quin largitionem beneficium comitetur.*

Dion. Chryſ. ὅτι μὲν οὖν ψευδῆ ταῦτά ἐστιν, οὐκ ἄδηλον. *Quod autem hæc falſa ſint, non eſt dubium, ſeu non eſt obſcurum. Sic & apud Ariſt. ſæpe in fine periodi poſitum eſſe inuenies vocem* ἄδηλον.

ADIVNCTA.

¶ *Dubitatio, & anxietas animi.*

ἀπορῶν ὅ,τι χρήσαιτο ἑαυτῷ, Aeſch. animi pendens, quid ageret.

ἀπορεῖν τί χρὴ δρᾶν, Philo ancipiti animo eſſe, quid ſit agendum:

διαπορεῖν, idem quod ἀπορεῖν, Plat. διαπορήσειε τί χρὴ δρᾶν περὶ τῶν τοιούτων, addubitet ecquid de his rebus agendum ſit. ὅ με μάλιστα ποιεῖ ἀπορεῖν, And.

Hinc nomen ἀπορία, animi anxietas conſilij inopia laborantis.

ἀπορίᾳ ἔχεσθαι, & συνέχεσθαι, Plat. πάντῃ συνεχόμεθα ἀπορίᾳ, ancipiti plane, atque incerto animo eramus. ἀπορίας μεστοὶ ἦμεν, vt idem loquitur in dialogo de philoſoph.

ἐν ἀπόρῳ εἰχόμεθα τί χρὴ δρᾶν, id eſt, ἐν ἀπορίᾳ συνειχόμεθα. ἀπορίᾳ καταλαμβάνεσθαι, Herodot. πολλῇ καταλαμβανόμενος ἀφασίᾳ, καὶ ἀπορίᾳ, id eſt, κατεχόμενος.

εἰς ἀπορίαν ἀφικνεῖσθαι, Herod. εἰς ἀπορίην μεγάλην ἀπιγμένος, pro ἀφιγμένος, in ſummam rerum difficultatem, animique inopiam adductus.

ἀπόρως διακεῖσθαι, Æſchin. idem quod ἀπορεῖν vel ἐν ἀπορίᾳ εἶναι.

ἀπορίαν καθίστησιν, ἐκεῖνό ἐστι, quod autem me præſertim anxium reddit, illud eſt.

καταστῆναι in voce ac ſignificatione paſſiua, Iſocr. ὥστ' εἴ τις ἔροιτό με τί νομίζω μέγιστον τῶν Εὐαγόρᾳ πεπραγμένων, εἰς πολλὴν ἀπορίαν ἂν καταστάιην. quocirca ſi quis ex me quæreret, ecquid ex omnibus rebus geſtis Euagoræ maximum & præclariſſimum exiſtimem, dubio plane, atque admodum ancipiti animo eſſem.

εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλειν, Plat. in ſummas rerum difficultates iniicere vel in extremam animi perplexitatem.

τὴν γνώμην ταλαντεύεσθαι, Greg. animum huc atque illuc verſare, in vtramque partem librare ἀμφοτέρωθεν ἑαυτὸν ταλαντεύειν, idem. ἀρνήσεως καὶ συγκαταθέσεως μεταξὺ φορεῖσθαι. Phil. inter inficiationem & aſſenſum nutare, vel, ancipitem ferri.

μέσος δύο φόβων ἱστάμενος, Greg. inter duos metus poſitus.

ἀμφικλινῶς ἔχειν, Phil. τῆς διανοίας ἀμφικλινῶς ἐχούσης, καὶ ἀντισπωμένης, variante animo, atque in vtramque partem viciſſim propendente.

οὐδὲ προϊέναι πορρωτέρω, οὐδ' ἀναστρέφειν ἐδύνατο, Diodor. nec progredi, nec regredi poterat.

σκοπουμένῳ καὶ διστάζοντι πότερον ἂν εἴη πορευτέον καὶ ὑπακουστέον, ἢ πῶς, ὅμως ἔρρεψε δεῖν, &c. Plato. Sic Virgil. tandem alternanti potior ſententia viſa eſt.

αὐτός τε πέπεισμαι καὶ τὴν σὴν χρηστότητα νομίζω μὴ ἀμφιβάλλειν, Baſil. tum ipſe certiſſimum habeo, tum tibi minime dubium eſſe confido.

οὐκ εἶχον ὅ,τι χρήσωνται τοῖς πράγμασιν, Ariſto. id eſt, ἠπόρουν, quid agerent non habebant.

¶ Differre, Prorogare, In aliud tempus reiicere, Procraſtinare.

ἀναβάλλεσθαι.

(τὶ εἰς ὑστεραίαν Differre aliquid in poſterum diem. Dem.

ἀναβάλλεσθαι
ἡμέραν ἐξ ἡμέρας. Diem de die ducere. Baſilius.
διασπείρειν λόγον. *Rumorem diſſeminare. Xen.* διασπείρειν τὸ ὄνομα εἰς τὴν Ἀσίαν. *Vſque in Aſiam nomen diſpergere ſeu extendere. De verbo* διαφορεῖν *vide exemplum in titulo Colligere, in* συνάγειν.

¶ Diſcernere, Diſtinguere, διαλογίζεσθαι, διαφορίζειν.

Æſchines, παῖς οὐ δύναται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μή. *Puer non poteſt diſcernere honeſta & turpia,*

εὐλαβῶς καὶ νομίμως διορίζειν τινά. Cautè & legitimè diſtinguere quædam. Demoſth

ἀκριβῶς καὶ σαφῶς διωρισμένα. Accuratè & euidenter diſtincta. Demoſth.

2. διαγινώσκειν.

Demoſth. συνέσει καὶ παιδείᾳ διαγινώσκομεν τὰ καλὰ, καὶ τὰ αἰσχρά. *Intelligentia atque eruditione honeſta & turpia diſcernimus.* χαλεπὸν διαγνῶναι. Iſoc.

¶ Dedere ſe, Subiicere ſibi, Subiugare, Subditum eſſe.

ἐγχειρίζειν.

ἐγχειρίζειν {
τὰς πόλεις. Ciuitates tradere. Demoſth,
ἑαυτόν, Seipſum dedere.
Iſocr. πλεῖσται αὐτῶν τῶν πόλεων ἑκοῦσαι ἐγχειρίζουσι σφᾶς αὐτάς. *Multæ ex illis ciuitatibus ſeipſas ſponte dediderunt.*
ἑαυτόν τινι. Dedere ſe alicui: vt,
Plutarch. ἐνεχείρισεν ἑαυτὸν μετὰ τῆς πέτρας Ἀλεξάνδρῳ. *Tradidit ſe vna cum petra in poteſtatem Alexandri*
Syneſius, ὅν σοι μετὰ τῆς ἐπιστολῆς υἱὸν ἐγχειρίζω. *Quem tibi cum epiſtola filium in manum trado.*

ἐκδιδόναι
vel
παραδιδόναι
vel
ἐκδοῦναι
{
πόλιν τοῖς πολεμίοις. Ciuitatem hoſtibus dedere: vt,
Iſocr. οὔτε Θηβαίους οἴομαι εἰς τοῦτο μανίας ἥξειν, ὥστε Λακεδαιμονίοις ἐκδοῦναι πόλιν. *Non exiſtimo Thebanos tam dementes fore, vt Lacedamoniis dedant ciuitatem.*
ἑαυτόν τινι: vt,

Plutarc.

Plutarch. αὐτὸς ἑαυτὸν τοῖς πολεμίοις παρέδωκε. *Ipſe ſe in in poteſtatem hoſtium tradidit.*

Iſoc. τοὺς Ἴωνας τοῖς βαρβάροις ἐξέδοσαν. *Illos Iones barbaris ſubiecerunt.*

ἔκδοτον ποιεῖν
ἐκδοῦναι
παραδοῦναι
ἐγχειρίζειν
} πόλιν τινί. Ciuitatem alicui dedere, tradere, ſubiicere. *Rendre quelcun maiſtre d'vne ville.*

Aeſchines, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν Θηβαίοις ἐποίησεν. *Totam Bœotiam dedititiam fecit, vel tradidit, ſubiecit Thebanis.*

Lycurg. τὴν πόλιν ὅλην ἔκδοτον ἐποίησε. *Totam ciuitatem hoſtibus dedidit.*

Dicitur etiam de homine: vt,

Iſocr. ἐπὶ τελευτῆς οὕτω πολλοὺς ἐκδότους τοῖς βαρβάροις ἐποίησαν. *Tandem tam multos poteſtati barbarorum ſubiecerunt.*

Idem ἐν ταῖς συνθήκαις ἔκδοτος ἐστι. *Per fœdera ſe dedidit.*

Dedere ſe inertiæ, Conuertere ſe ad ignauiam. ἐπὶ τὸ ῥαθυμεῖν ἀποκλίνειν.

Demoſth. πάλιν ῥαΐσας οὐκ ἐπὶ τὸ ῥαθυμεῖν ἀπέκλινε. *Vbi conualuiſſet, non ſocordiæ ſe dedidit.*

Dedere ſe voluptatibus, ἐπιδιδόναι ἑαυτὸν ταῖς ἡδοναῖς, Gaza.

¶ Laxare, ἀνιέναι.

ἀνιέναι {
τινὶ τὰς ἡνίας. Laxare alicui habenas.
Plutarch. τῷ δήμῳ τὰς ἡνίας. *Populo laxans ſeu permittens habenas.*
τὸ πρόσωπον. Exporrigere frontem.
τὴν ψυχήν. Animum relaxare ſeu remittere. Athenæus.

2. χαλᾶν.

χαλᾶν {
δεσμά. Laxare vincula. Eurip.
τὴν ὀργήν. Iram laxare. De ira aliquid remittere.
ἐν σπυρίδι διὰ τοῦ τείχους. Demittere in ſportula per murum. Act. cap. 9.
ἄγκυραν. Demittere ancoram in mare, Laxare ancoram.
ἱστόν. Demittere ſeu laxare velum.
χορδήν. Laxare ſeu remittere chordam. Hinc κεχαλασμένη χορδή *Chorda quæ non intenta, ſed laxata.*

Dicuntur & morbi ac affectus χαλᾶν, cum remiſſiores & mitiores fiunt. Verbo autem χαλᾶν, opponitur ἐκτείνειν extendere, intendere.

οἱ ἀρχόμενοι
ὑπήκοοι } Subditi, Qui parent. *Subiects.*

Cyrus apud Plutarc. ἄρχειν μηδενὶ προσήκει, ὃς οὐ κρείττων ἐστὶ τῶν ἀρχομένων. *Neminem decet imperare, qui non ſit melior ſuis ſubditis.*

ὑπηκόους ποιεῖσθαι. In poteſtatem ſuam redigere.

ἀνυπήκοος Inobediens, Immorigerus.

Plato. ἀνυπήκοος τοῦ λόγου.

εἰς ὑπηρέτου σχῆμα καὶ τάξιν προελθεῖν τὴν πόλιν. Ad miniſtri habitum & conditionem redigi vrbem. Demoſt.

In ſeruitutem redigere.

δουλόω
δουλόομαι
καταδουλόω
καταδουλόομαι } In ſeruitutem redigo. *I'aſſuiettu, ie reduis en ſeruitude.*

Plutarch. δουλοῦν ἀπάτῃ τοὺς πολεμίους. *Artificioſa calliditate in ſeruitutem redigere hoſtes.*

Plato, οὔτε τοῖς δουλώσασιν οὔτε τοῖς δουλωθεῖσιν ἄμεινον αὐτοῖς. *Neque dominantibus, neque ſeruientibus prodeſt.*

Iſocr. νῆσον τῷ βασιλεῖ ὅλην κατεδούλωσεν. *Totam inſulam regis ſeruituti ſubiecit.*

Idem. οὓς ἐλευθερώσειν ὡμολόγησαν, κατεδουλώσαντο μᾶλλον ἢ τοὺς εἵλωτας. *Quos ſe liberaturos eſſe polliciti ſunt, hos magis quam captiuos, ſeruituti obnoxios reddiderunt.*

εἰς δουλείαν {

καταστῆναι. In ſeruitutem adduci: vt,

Iſocr. νῦν δ' εἰς τοσαύτην δουλείαν καθεστώτων, οὐδὲν φροντίζουσιν αὐτῶν. *Nunc verò cùm in tantam ſeruitutem redacti ſunt, nihil eos curant.*

μεταπίπτειν In ſeruitutem dari vel adduci: vt,

Lycurg. contra Leocr. τὰ τῆς Ἑλλάδος εἰς δουλείαν μετέπεσε. *Res Græcorum in ſeruitutem redacta ſunt.*

ὑπάγειν vel ὑπάγεσθαι. In ſeruitutem adducere: vt,

Demoſth. ὁ τύραννος ὑπηγάγετο εἰς τὴν παροῦσαν δουλείαν. *Tyrannus ipſos in hanc ſeruitutem pellexit.*

ἀνδραποδίζειν vel ἀνδραποδίζεσθαι. In ſeruitutem redigere, in ſeruitutem abducere.

Thucyd. παῖδας καὶ γυναῖκας ἀνδραποδίσαι. *Liberos & coniuges in ſeruitutem redigere.*

Xenoph. τὸ ἀνδραποδίζεσθαι τοὺς φίλους, ἄδικον εἶναι δοκεῖ. *Captiuos ducere amicos, iniquum eſſe videtur.*

ποιεῖν

probaturum eſſe ſpero.

Idem, ἐβουλόμην δ' ἂν ὑμῖν οἷόν τ' εἶναι ποιῆσαι φανερὸν· οἷος περὶ αὐτὸν ἐγενόμην. *Vellem vobis oſtendi & declarari poſſe, quo animo erga ipſum fuerim.*

φανερὸν ὅτι, &c. vt,

Iſocr. βούλομαι ἀποδεῖξαι καὶ φανερὸν ποιῆσαι ὅτι οὐ τῷ λέγειν πρὸς οὐδένα λέγειν ἔοικε. *Oſtendam & probabo, quod hac oratio nulla oratio ſit. Hic* ἀποδεῖξαι *&* φανερὸν ποιῆσαι, *pro eodem ponuntur.*

φανερὸν, ὡς οὐ, &c. vt,

Iſocr. ἀποδείκνυτε καὶ ποιεῖτε πᾶσι φανερὸν ὡς οὐ χρημάτων ἐπιθυμήσαντες ἀλλοτρίων. *Oſtenditis & omnibus declaratis, vos non alienas opes appetere.*

καταφανὲς ὅτι, &c. vt,

Iſocr. πειράσομαί σοι ποιῆσαι καταφανὲς, ὅτι πολὺ ἐν ἀμφοτέροις διήμαρτες. *Conabor tibi demonſtrare, quod maxime in vtroque oberraueris.*

2. γνωρίζειν.

γνωρίζειν

τινὶ ὁδοὺς ζωῆς. Notas facere alicui vias vitæ. Pſalm.

Iohan. 17 καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω.

τινὶ ἄνδρα. Alicui virum aliquem notum facere.

Greg de Baſilio, Ἀθῆναι γάρ μοι τὸν ἄνδρα τοῦτον ἐγνώρισαν τελειότερον. *Athenæ mihi hunc virum perfectius notum fecerunt.*

τινὶ πάντα. De omnibus aliquem certiorem facere, Omnia alicui exponere.

D. Paulus, πάντα ὑμῖν γνωρίσει Τυχικός. *De omnibus vos certiores faciet Tychicus, Omnia vobis Tychicus exponet.*

ἐμφανίζειν, Patefacere, reuelare. *Xenoph. vtitur de Deo loquens.*

3. δηλοῦν.

δηλοῦν

τι. Aliquid declarare, oſtendere: vt,

Iſocr. εἰ δεῖ καὶ δηλῶσαι τὴν ἐμαυτοῦ διάνοιαν. *Si oportet declarare meam ſententiam.*

τι ἐναργέστατα. Manifeſtiſſime declarare aliquid. Iſocr.

τι σαφῶς vel σαφέστατα. Aperte vel apertiſſime aliquid declarare. Iſocr.

πρός τινα, ὅτι μέλλω αὐτῷ λόγον πέμπειν. Oſtendere alicui, quod velim ei orationem mittere. Iſocr.

ADIVNCTA.

¶ *Oſtendere, vide ſpecimen.*

ἐναργέστατα ἐπιδεῖξαι. Lucian. dilucidiſsime oſtendere.

μάλιστα ἔδειξε τὴν εὔνοιαν, ἣν εἶχε πρὸς αὐτόν, idem.

πᾶσιν ἐδείξατε ἐκ τούτων, ὅτι, &c. Demoſt. ex his rebus perſpicuum omnibus feciſtis, &c.

ὁ δ᾽ ἀλγῶν, πολὺν ἐμφαίνει τὸν ἔρωτα, Chryſoſt. magnam vim amoris præ ſe fert.

τὸ ὠφέλιμον διαδείκνυται, vel, ἀναφαίνεται Baſil. elucet.

Conſtruitur etiam verbum δηλόω cum participio: vt, ἐδήλου πονηρῶς ἔχων. *Oſtendebat vel Præferebat ſe malè habere. de qua conſtructione vide noſtram Syntaxin de Participiis. reg. 13.*

In paſſiuo.

Iſocr. τῶν αἰτιῶν δηλωθεισῶν, μή. *Cùm cauſæ iam explicatæ ſint, non, &c.*

Demoſt. De corona. τὸ γὰρ ὡς ἄριστα ἐπεπράγειν, ἱκανῶς ἐκ τῶν εἰρημένων δεδηλῶσθαί μοι νομίζω. *Quod enim optima quaque egerim, ſatis ex illis, quæ dicta ſunt, à me declaratum ſeu demonſtratum eſſe arbitror.*

4. ἐξελέγχειν καὶ δεῖξαί τι σαφῶς.

Demoſth. ἐξελέγξω καὶ δείξω σαφῶς, τὸν Αἰσχίνην μηδὲν ἀληθὲς ἀπηγγελκότα. *Probabo & oſtendam manifeſtè, Aeſchinem nihil veri renunciaſſe.*

ἐξελέγχειν τὸ ἔργον. Factum probare. Lycurg.

δηλωτέον. Oſtendendum eſt.

Iſocr. τὰ πρὸς τοὺς βαρβάρους ἑκάτεροι συνηνέχθημεν, δηλωτέον. *Iam oſtendendum & explicandum eſt, quomodo cum barbaris congreſsi ſimus.*

δεῖξαι
ἀποδεῖξαι
ἐπιδεῖξαι
ἐνδεῖξαι
καταδεῖξαι
ὑποδεῖξαι
δεικνύναι
ἐπιδεικνύναι
ἐπιδεικνύειν
ἀποδεικνύναι
ἀποδείκνυσθαι
φαίνεσθαι
ἀποφαίνεσθαι
[illegible]

Oſtendere, Demonſtrare, Probare. Iſocr. Dem.
Monſtrer, Demonſtrer, Faire preuue, Faire paroiſtre.

ἐμφαίνεσθαι
ἀποφαίνεσθαι
ἀναφαίνειν
ἀποφαίνειν
ἐμφανίζειν

Demoſt. φήσουσι μὲν, δεῖξαι δ᾽ οὐχ ἕξουσι. *Affirmabunt quidem,ſed demonſtrare non poterunt.*

Plutarch. τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδείκνυνται, τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις. *Honornando & ornando conſiliario maxime declarant,ſe conſiliariorum non pœnitere.*

Iſocr. ἀποδείκνυσθαί τι φανερώτερον. *Iſocr. Clarius aliquid oſtendere & probare.*

Demoſth. ἀποδείκνυσι μάτην ὀμνύντας, δικάζοντας, καὶ ἅπαντα ποιοῦντας τοὺς δικαστάς. *Oſtendit iudices fruſtra iurare,iudicare & omnia facere.*

Idem, ἀποδεικνύουσι μάτην μελετῶντας τοὺς διδασκάλους. *Oſtendunt præceptores fruſtra docere.*

Iſocr. ἐπιδείκνυσο περὶ τὰ μέγιστα σπουδάζων. *Oſtende te maximis rebus occupatum eſſe.*

Idem, βούλομαι ἀποδεῖξαι, καὶ φανερὸν ποιῆσαι, ὅτι, *&c.*

Iſocr. οὕτω σαφῶς ἀποδεικνύειν ὥστε μηδένα ἀντειπεῖν δύνασθαι τοῖς ῥηθεῖσι. *Ita aperte oſtendere & demonſtrare aliquid, Vt nemo ſit,qui illis, quæ recitata ſunt contradicere poßit.*

Demoſt. διὰ βραχέων δεικνύειν τι. *Breuiter aliquid demonſtrare.*

In paſſiuo.

Iſoc. καίτοι φανερῶς ἀποδέδεικται ταύτην ἔχειν τὴν δύναμιν. *Atque aperte declaratum eſt,illa hanc Vim habere.*

Aeſchin. ὃν δὲ τρόπον γέγονε τὸ πρᾶγμα, προϊόντος ἀποδειχθήσεται. *Quo res geſta ſit modo progreſſu orationis declarabitur.*

Iſoc. ἱκανῶς ἀποδεδεῖχθαί μοι νομίζω, ὡς οὐκ αἴτιός εἰμι τῆς συμφορᾶς ταύτης. *Satis a me oſtenſum eſſe arbitror, me huius calamitatis cauſam non eſſe.*

Idem, τούτων ἀποδειχθέντων, οὐκ ἔστιν, ὅς τις. *His demonſtratis nemo eſt,qui non,&c.*

Idem, ὅτι τὰς συνθήκας ἐποιησάμεθα, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω. *Quod pacta & fœdera hæc ſanxerimus, ſatis ſuperque demonſtratum eſſe arbitror.*

ἀπόδειξιν
ποιεῖσθαι. Aliquid demonſtrare,probare.Dem.
εὑρίσκειν. Demonſtrationes inuenire. Iſocr.
ποιεῖν ἔν τινι. Specimen edere in aliqua re. Xenoph.
ἔχειν. Poſſe probare.Iſocr.

ἐπίδειξιν

ποιεῖσθαι. Oſtendere & demonſtrare aliquid. Iſoc.

ποιεῖσθαί τινι. cum datiuo: vt,

Iſocr. οὐ τοῖς ἄλλοις ἐπίδειξιν ποιούμενος, ἀλλ' ὑποδεῖξαί σοι βουλόμενος διείλεγμαι περὶ αὐτῶν. *Non vt alijs oſtentarem, ſed vt tibi declararem, in hunc modum diſſerui. Hic nota plus eſſe* ὑποδεῖξαι, *quam* ἐπίδειξιν ποιεῖσθαι.

ποιεῖσθαι τῆς σοφίας. Sapientiæ ſpecimen edere, Sapientiam oſtentare. Iſocr.

δεῖξαί τι μεγάλοις σημείοις καὶ φανεροῖς ἐλέγχοις Magnis & manifeſtis indicijs ac argumentis aliquid demonſtrare & probare. Demoſth.

δεῖγμα ἐκφέρειν τινός. Specimen alicuius rei præbere. *Poteſt etiam de homine dici. Iſocr. ad Demon.* δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενήνοχα.

δεῖγμα ἐξενεγκεῖν vel ἐκφέρειν περὶ ἑαυτοῦ. De ſe ſpecimen vel exemplum præbere. Demoſth.

πεῖραν διδόναι. Specimen dare vel edere, documentum dare.

Demoſth. πεῖραν ἑαυτῶν δεδώκασι. *Specimen ſui dederunt. Iſocr.*

Iſocr. ad Nicocl. πεῖραν τῆς ἐμαυτοῦ φύσεως δεδωκώς. *Ingenij mei ſpecimen præbens.*

ἐπιδεικτικὸν γένος τοῦ λόγου. Demonſtratiuum genus orationis. Bud. ex Quintil.

ἀναπόδεικτος λόγος. Oratio carens demonſtratione ſeu probatione. Lycurg.

ἀναποδείκτως. Sine probatione & demonſtratione.

ἔλεγχον

δοῦναί τινος. Aliquid demonſtrare, Specimen edere: vt,

Iſocr. οἳ μέγιστον, καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὐτῶν ἀρετῆς. *Maximè & euidentiſſimè ſuam virtutem declarauerunt.*

Andocides. οἵτινες ἔλεγχον ὑμῖν ἀρετῆς τῆς μεγίστης ἔδοσαν. *Qui excellentis ſuæ virtutis vobis argumentum ſeu ſpecimen ediderunt.*

γίνεσθαί τινος: vt,

Lucian. ἔλεγχος γίνεται τῆς ἀπαιδευσίας. *Argumentum eſt inſcitiæ, Declarat vel arguit inſcitiam.*

γίνεσθαι περί τινος: vt,

Iſocr. περὶ τῶν πρὸς τοὺς ἐπὶ τραπέζαις συμβολαίων, τίς ἂν ἔλεγχος ἰσχυρότερος γένοιτο? *De pactis & contractibus nummulariorum, quod euidentius argumentum & indicium eſſe poteſt?*

λαμβάνειν τῶν ἀμφισβητουμένων. Ea, de quibus dubitatur probare & demonſtrare. Iſocr.

ἔχειν. Habere argumentum, rationem. Demoſth.

Signum argumentum, Indicium, σημεῖον, δεῖγμα, τεκμήριον, ἀπόδειξις.

μέγα { σημεῖον / δεῖγμα / τεκμήριον } τῆς ἀρετῆς ἢ πονηρίας. Magnum ſignum ſeu indicium virtutis aut improbitatis. *Grand indice, ou argument de vertu ou de meſchanceté.*

οὐ μικρὸν σημεῖον τῆς ἀρετῆς. *Haud paruum indicium virtutis, Iſocr.*

Idem, πολλὰ σημεῖα ἔχω δεικνύναι, τοῦτον συκοφαντεῖν, τεκμήριον δὲ μέγιστον ἀπαιτεῖται ἐπὶ τοῦτο. *Multis ſignis poſſem oſtendere hunc calumniari, ſed maximè omnium hoc argumento eſſe poteſt, quod, &c.*

ἄνευ ἀποδείξεως ἀντιλέγειν τινί. Contradicere alicui ſine argumento & probatione. Xenoph.

¶ Deficere, Deſciſcere.

ἀφίστασθαι.

ἀφίστασθαι

Deficere: vt,

Iſocr. Αἴγυπτος μὲν ἀφειστήκει κατ' ἐκεῖνον τὸν χρόνον. *Aegyptus quidem defecerat iam tum temporis.*

ὁ ἀποστὰς Qui deficit.

Demoſth. ὁρῶ τοὺς ἀποστάντας πόλεμον ἀραμένους. *Video eos, qui defecerunt, bellum ſuſcepiſſe.*

τινὸς (cum genitiuo) Ab aliquo deficere: vt,

Iſocr. Αἴγυπτος αὐτοῦ καὶ Κύπρος ἀφειστήκει. *Aegyptus & Cyprus ab eo defecerunt.*

Idem, ὥς τε ἀποστάντες τῆς ὑμετέρας συμμαχίας Λακεδαιμονίοις ἐκδοῦναι τὴν πόλιν. *Vt à veſtra ſocietate deficientes Lacedæmoniis vrbem dedant.*

ἀπό τινος (cum præpoſitione) vt,

Diodorus, Εὐμένης, ἀποστάντος ἀπ' αὐτοῦ τινὸς τῶν ἐπιφανῶν ἡγεμόνος, ἐξέπεμψεν ἐπ' αὐτὸν Φοίνικα. *Eumenes, cum defeciſſet ab eo quidam inſignis dux, aduerſus eum miſit Phœnicem.*

πρός τινα Ad aliquem deficere: vt,

Iſocr. πρὸς Λακεδαιμονίους ἀποστῶμεν. *Ad Lacedæmonios deficiamus.*

ἀποκλίνειν ἐπὶ τοὺς ἀντιδίκους. Ad aduerſarios deficere, vel ſe ad eos conferre. Demoſth.

¶ ἀπελθεῖν εἰς πολεμίους. Deficere ad hoſtes. Dem.

2. ἀφίστασθαι.

ἀφίστασθαι

τινός. Ab aliquo deficere: vt,

Iſocr. τοὺς μὲν ἀφισταμένους τῆς ἀρχῆς τοῦ βασιλέως συγκαταστρεψόμεθα. *Eos qui à regis imperio deſciuerunt, ſimul ſubuertemus.*

Idem, οὐκ ἀποστήσομαι παντάπασιν, ὧν διενοήθην. *Non deficiam omnino à mea ſententia.*

πρὸς πολεμίους. Ad hoſtes deficere.

¶ Ad defectionem ſolicitare, & impellere, Facere vt deficias.

ἀφιστάναι

τινά. Aliquem ad defectionem impellere: vt,

Iſocr. τὰς μὲν νήσους ἀπέστησε. *Inſulas à vobis deficere fecit.*

Idem, τῶν ἄλλων σατραπῶν πολλοὺς ἀποστήσεις. *Multos ex ſatrapis deſciſcere facies.*

τινὰ τῆς πόλεως: vt,

Iſocr. τῆς μὲν ἡμετέρας πόλεως τοὺς Ἴωνας ἀπέστησαν. *Effecerunt, vt Iones à nobis deficerent.*

¶ Iniuriæ memorem eſſe.

μνησικακεῖν.

μνησικακεῖν

Iniuriæ memorem eſſe [abſolutè ſeu ſine adiectione] Demoſth. & Luc.

πρός τινα. Maleuolo animo erga aliquem eſſe propter veterem iniuriam.

Demoſt μνησικακῆσαι πρὸς τοὺς βουλομένους σώζεσθαι. *Ob veterem iniuriam maleuolo animo eſſe erga illos, qui ſeruari cupiunt.*

τινί (cum datiuo perſonæ) vt,

Plato 4. de leg. φράσω γὰρ ὅτι μνησικακεῖν βουλόμενος ὑμῖν. *Dicam certè, non autem quod velim præteritorum malorum memoriam vobis refricare.*

τινὶ πολλὰ (cum datiuo perſonæ, & accuſatiuo rei) vt,

Demoſth. τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις καὶ Θηβαίοις τῶν περὶ τὸν Δεκελεικὸν πόλεμον πραχθέντων.

μνησίκακος Qui iniuriarum memor eſt.

μνησικακία, Iniuriarum memoria.

¶ Deditus, Procliuis, Propenſus ad aliquid.

εὐέμπτωτος }
εὐκατάφορος } εἰμὶ πρὸς τοῦτο. Ad hoc propenſus ſum. *Ie ſuis enclin à cela.*

Chryſoſt. πρὸς θυμὸν καὶ ἐπιθυμίας εὐέμπτωτος μᾶλλόν ἐστιν ὁ νέος. διὸ καὶ πλείονος δεῖται τῆς φυλακῆς καὶ σφοδροτέρου τοῦ χαλινοῦ. *Adoleſcens procliuior eſt ad iracundiam & prauas cupiditates (quam puer) ideo et maiori cuſtodia & duriori fræno opus eſt.*

Ariſtot. εὐκατάφοροι ἐσμὲν μᾶλλον πρὸς ἀκολασίαν, ἢ πρὸς κοσμιότητα. *Procliuiores ſumus ad intemperantiam, quam ad modeſtiam.*

Idem, Eth.2. σκοπεῖν δὲ δεῖ πρὸς ἃ καὶ αὐτοὶ εὐκατάφοροί ἐσμεν. ἄλλοι γὰρ πρὸς ἄλλα πεφύκαμεν. *Videndum eſt etiam ad quæ procliuiores ſimus. Alij enim ad alia natura habiles ſumus. Vbi obſerua ſimul vſum verbi* πεφυκέναι *cum præpoſit. & accuſatiuo.*

Propendere, inclinare. ῥέπειν.

Demoſt. πρὸς τοὺς περὶ τούτου λόγους ὡρμηκότας ὑμᾶς λαβὼν ὁ Φίλιππος, ἐπέγραψε τοῦτο. *In iſtius verba propenſos vos nactus Philippus, inſcribit illud.*

ἀποκλίνειν { πρὸς ἡδονάς. Procliuem eſſe, vel inclinare ad voluptates. Ariſtot. *Eſtre ſuiect, Eſtre adonné à ſes voluptez.*
{ εἰς εἰρήνην.

Demoſt. ἀποκλίνει εἰς εἰρήνην. *Inclinat animus eius ad pacem.*

πεφυκέναι }
ῥέπειν } πρὸς τὰς ἡδονάς. Ad voluptates propenſum ſeu procliuem eſſe.

Ariſtot. ἄλλοι πρὸς ἄλλα πεφύκαμεν. *Alij ad alia propenſi, ſeu potius natura habiles ſumus.*

¶ Deſerere.

προΐεσθαι
λείπειν,
ἀπολείπειν
καταλείπειν
ἐκλιπεῖν
ἀφεῖναι
καταλιμπάνειν
παραλείπειν
προλείπειν } τινά. Deſerere aliquem: *Quitter ou laiſſer quelcun.*

Demoſth. τοὺς μὲν φίλους αἰσχρὸν προΐεσθαι, τοῖς δ' ἐχθροῖς ἐπισφαλὲς πιστεῦσαι. *Amicos deſerere turpe eſt, inimicis vero fidere periculoſum.*

Ariſtot. εἰ κατέλιπε τὸν παραστάτην. *Si ſocium in acie deſeruit.*

Demoſt λείπειν τὴν τάξιν. *Ordinem deſerere.*

Idem, ἀπολείπειν τὸν δυστυχήσαντα. *Deſerere afflictum.*

Defendere, Patrocinari, Excuſare.

συνηγορεῖν.

συνηγορεῖν,

τινί. Patrocinari alicui: vt,

Iſocr. μηδενὶ πράγματι πονηρῷ μήτε παρίστασο, μήτε συνηγόρει. *Nulli iniqua rei patrocineris, neque defendas eam. Sic & Demoſt.*

ὑπέρ τινος. Aliquem defendere: vt,

Ariſt. προσποιοῦνται μὲν ὑπὲρ τῆς δικαίης συνηγορεῖν. *Simulant ſe iuſtitiæ & æquitati patrocinari.*

¶ Pro συνηγορεῖν τινί, dicitur & συναγορεύειν τινί: vt,

Iſocr. νῦν δ' ὁρῶν τοὺς συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσιν, ἀνέστην. *Nunc cum videam eos patrocinari illis, quibus hoſtes imperant, ſurrexi, &c.*

Athenæus, ὑπερείδεις συναγορεύειν τῇ Φρήνῃ. *Negligis defendere Phrenam.*

Demoſt. συναγορεύειν τῇ σωτηρίᾳ, τῇ ἐπιθυμίᾳ, τοῖς λεγομένοις ὑπὸ ἄλλου. *Patrocinari ſaluti, cupiditati, orationi alterius, &c.*

συνερεῖν
συμπαρεῖναι
συνειπεῖν
συνδικεῖν
συναπολογεῖσθαι
ὑπεραπολογεῖσθαι
ἀπολογεῖσθαι
σκεπάζειν
προφασίζειν
προΐστασθαι

τινί. Alicui patrocinari, Excuſare aliquem. *Defendre la cauſe de quelcun:*

Demoſt. ὡμολόγησα τούτοις ἂν οἷός τ' ὦ συνερεῖν. *Recepi me hiſce, pro virili parte patrocinaturum.*

Idem ἅπαντές μοι δοκοῦσιν ἁμαρτάνειν, οἱ τοῖς Ἐπικουρείοις συνειρηκότες. *Omnes illi errare videntur, qui Epicureis patrocinati ſunt.*

Idem, ἀξιῶ καὶ τῶν φίλων μοί τινα συνειπεῖν. *Peto vt amicorum aliquis mihi patrocinetur.*

Idem, καθ' ὑμῶν τούτῳ συνδικεῖν ἀναγκάζονται, τοῦ συμφέροντος εἵνεκα τοῦ αὑτῶν. *Contra vos huic patrocinari coguntur, ſui commodi cauſa.*

Idem, προελθόντες αὐτίκα δὴ μάλα τούτῳ συναπολογήσονται. *Progreſſi mox patrocinabuntur ei.*

ὑπερασπεῖν τινός. Patrocinari alicui. Ariſtot.

λέγειν ὑπὲρ τῆς πατρίδος. Patriç cauſam agere ſeu tueri. Sic λέγειν ὑπὲρ Φιλίππου. Philippi cauſam agere. Demoſt.

συνήγορος
συνηγορεῖν
συνερεῖν
συναγορεύων
ἀπολογούμενος
παράκλητος
προσκλητής
} Patronus, Aduocatus. Demoſt. Iſocr. *Aduocat, Procureur.*

ἀπολογεῖσθαι.

ἀπολογεῖσθαι

Defendere in iudicio:vt,

Aeſchines, ὁ μὲν κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ. *Actor defendit, qui vero reus eſt, accuſat.*

περί τινος. Defendere ſiue excuſare aliquem:vt,

Iſocr. ἀπολογεῖσθαι προσήκει περὶ τῶν ἀδίκως αἰτίαν ἐχόντων, *Defendendi ſunt illi qui iniuria accuſantur.*

ὑπέρ τινος. Reſpondere pro aliquo, Defendere eum vel potius, Patrocinari alicui:vt,

Iſocr. ὁρῶ με οὐ δυνησόμενον ὑπὲρ αὐτῶν ἀξίως τῆς δόξης ἀπολογήσασθαι διὰ τὸ γῆρας, *Video me non poſſe ea pro opinionis de me dignitate ſatis defendere, propter ſenectutem.*

Aeſchin. ἀπολογήσεται Δημοσθένης ὑπὲρ αὑτοῦ, καὶ κατηγορήσει τῆς ἐμοὶ πεπρεσβευμένης. *Defendet ſe Demoſthenes, & meam legationem accuſabit,* Sic ἀπολογεῖσθαι ὑπὲρ τῶν ἀδικημάτων. *Sceleribus patrocinari. Lycurg.*

τὶ δικαίως. Iuſte aliquid diluere, refutare. Demoſth.

τὶ ὑπέρ τινος:vt,

Lucian. ταῦτα μὲν ὑπὲρ ἐμοῦ ἀπολελόγημαι ὑμῖν ἀληθῆ καὶ δίκαια, *Hac quæ vera & iuſta ſunt, ad mei defenſionem attuli.*

πρὸς τὰ κατηγορημένα. Vti defenſione aduerſus illa, quæ accuſata, vel in iudicium adducta ſunt. Plato in Apologia.

Luciam. ἐγὼ δὲ ἀπολογήσομαι πρὸς ἐγκλήματα. *Ego reſpondebo ad conuitia, Vel, Diluam conuitia obiecta.*

τὰς κατηγορίας διὰ γραμμάτων. Reſpondere per literas ad obiecta crimina, & ea diluere. Plutarch.

ἀπολογίᾳ τινὶ χρῆσθαι Vti defenſione aliqua. Demoſt.

ἀπολογίαν

ποιεῖσθαι. Cauſam defendere, Defenſione vti: vt,
Iſocr. πειράσομαι διὰ βραχέων δηλῶσαι, ὡς δεῖ καὶ τὴν ἐπαινετικὴν καὶ τὴν ἀπολογίαν ποιήσασθαι. *Conabor paucis oſtendere, quæ ratio in laudando & defendendo ſeruanda ſit.*

ποιεῖσθαι ὑπέρ τινος. Defenſionem inſtituere pro aliquo, vt,
Iſocr. αἰσχρὸν τοιαύτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι ἀπολογίας. *Turpe eſt alios hoc modo excuſare.*

δικαίως καὶ ἁπλῶς ποιεῖσθαι. Iuſtè & ſimpliciter defendere. Demoſt.

ποιεῖσθαι περὶ τῶν αἰσχρῶν αἰτιῶν καὶ δυσχερῶν πραγμάτων Turpes & difficiles cauſas deffendere. Iſocr. in Buſir.

ποιεῖσθαι δι' ἑτέρων. Per alios ſe defendere, Iſocr.

ποιεῖσθαι πρός τι. Ad aliquid reſpondere, & illud refutare ſeu diluere, Iſocr. de Iugo.

ποιεῖσθαι ἐκ διεφθαρμένου γραμματείου. Ex corrupto libello ſe defendere, Iſocr.

διδόναι τινί. Defenſionem alicui concedere, Iſocr.

λέγειν vel εἰπεῖν. Defenſionem inſtituere, Iſocrat. in Hel.

ἀπολογητέον.

Lycurg. ὑπὲρ αὐτῶν αὐτοῖς ἐστὶν ἀπολογητέον. *Ipſis pro ſe eſt inſtituenda defenſio, ſeu ſuſcipiendum eſt patrocinium ipſis pro ſe.*

ἐπαμύνειν.

ἐπαμύνειν

τινί. Aliquem ab iniuria defendere: vt.
Iſocr. καὶ τοῖς ἀδικουμένοις τῶν Ἑλλήνων ἐπήμυναν. *Græcos iniuria oppreſſos ab iniuria defendebant.*

ταῖς ἐνδείαις καὶ συμφοραῖς. Inopiæ & calamitatibus opem ferre, & eas defendere. Iſocr.

ἐρρωμένως ἀμύνεσθαι ὑπέρ τινος. Fortiter defendere aliquid, Demoſth.

κατήγορος
ὁ κατηγορῶν
ὁ διώκων
αἰτιώμενος
εὐθύνων
κρίνων
εἰσαγγέλλων
ἀπαξιῶν
καταμηνυτής
} Actor, Accuſator, *Accuſateur.*

ὁ ἀπολογούμενος
ὁ φεύγων
ὁ κατηγορούμενος
ὁ ὑπαχθεὶς
ὁ κρινόμενος
ὑπεύθυνος
ἐγκληθεὶς
κεκριμένος
Reus, Accuſatus, *Accuſe, Coulpable.*

Demoſth. τοῦ τε κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν προσέχοντας ἀκροᾶσθαι. *Cum accuſatorem, tum reum æquo animo vtrumque audire oportet.*

Demoſth. τὸν κατηγοροῦντα τῶν ἄλλων, καὶ πάντας κρίνοντα αὐτὸν ἀνεξέλεγκτον ὑπάρχειν δεῖ. *Accuſatorem aliorum, & omnium exagitatorem, ipſum omni crimine vacare oportet.*

Idem, τῷ διώκοντι, ἐὰν ἡττηθῇ, ἐλάττω ἐποίησαν τὰ ἐπιτίμια. *Accuſatori, ſi ſuccubuerit, minorem ſtatuerunt mulctam.*

ἔνοχον εἶναι
πάσης τῆς ἀδικίας. Omnium ſcelerum reum eſſe. Lycurg.
τοῖς αὐτοῖς ἐπιτιμίοις. Earundem pœnarum reum eſſe, vel eaſdem pœnas meritum eſſe. Lycurg.

ἀπολογία
συνηγορία
Excuſatio, defenſio, purgatio. Demoſth.

ἀποδέχεσθαι τὴν ἀπολογίαν. Accipere excuſationem. Lycurg.

κατηγορία Accuſatio, Dem.

ἀπολογίαν
ἁπλῆν εἶναι τινὶ περὶ ὧν φεύγει. Simplicem habere defenſionem cauſæ. Demoſth.
τοιαύτην καλλίστην ἡγοῦμαι καὶ δικαιοτάτην. Hanc iudico optimam & iuſtiſſimam excuſationem. Iſocr.
δικαίαν καὶ ἀληθινὴν ἀπολογίαν οὐδεμίαν ἔχειν εἰπεῖν. Iuſtam & veram excuſationem nullam poſſe afferre. Demoſth.
μελετᾶν εὐθέως ὑπὲρ ψευδῶν. Meditari ſtatim defenſionem mendaciorum. Demoſth.
λέγειν ὑπέρ τινος. Aliquem excuſare. Demoſth.
διαλύειν. Excuſationem euertere. Idem.

Demoſt. τούτοις ἐστὶν ἡ πρόφασις τῆς συνηγορίας, τῇ βουλῇ βοηθεῖν. *Illis prætextus eſt defenſionis, Senatum adiuuare.*

¶ Ducere vxorem, Contrahere matrimonium, vel connubium, Nubere.

γαμεῖν

Vxorem ducere. Connubium contrahere: vt,

Demoſt. τὸν αὐτὸν τρόπον γεγαμηκότες. *Eodem modo matrimonia contraxerunt.*

τινά. (cum accuſatiuo perſonæ) vt,

Iſocr. ἔγημεν ἀδελφὴν τοῦ πατρός μου. *Duxit vxorem patrui mei ſororem.*

Idem, μετὰ δὲ ταῦτα τὴν μητέρα τὴν ἐμὴν ἔγημε. *Poſtea matrem meam duxit vxorem.*

γυναῖκα πλουσίαν. Ducere vxorem opulentam. Æſchin.

τινὰ γάμῳ. Ducere aliquam legitimo matrimonio. Demoſthenes.

γυναῖκα κατὰ τοὺς νόμους. Vxorem ducere ſecundum leges. Demoſth.

λαβεῖν / ἄγεσθαι

γυναῖκα, νέαν, ἀνεψιάν. Ducere vxorem. Ducere puellam, Ducere conſobrinam. *Se marier auec vne femme, auec vne fille, ou auec ſa couſine.*

Iſocr. ἐξὸν αὐτοῖς ἐκεῖ λαμβάνειν γυναῖκας τὰς πρωτευούσας, ἦλθον ὡς ἐκείνην μνηστεύοντες. *Cum licuiſſet ipſis ibi primarias ducere vxores, venerunt ad illam ambiendi gratia.*

Idem. γυναῖκας λαβόντες.

Idem, αὖθις ἠγάγετο τὴν ἀνεψιὰν τοῦ πατρός. *Duxit rurſus conſobrinam patris.*

Plutarchus, γέροντι νέαν ἀγομένῳ. *Seni puellam in vxorem ducenti.*

¶ Ducere, Adducere.

ἄγειν.

ἄγω

σέ. Duco te.

σὲ εἰς τὴν ὁδὸν, Et εἰς τὴν πόλιν. Duco te in viam, & in ciuitatem. Xenoph.

σὲ ἐπὶ τὴν ῥᾴστην ὁδόν. Duco te in viam facilem. Xenophon.

πολλὴν στρατιὰν ἐπὶ Τροίαν. Duco maximas copias ad Troiam. Plato.

σοὶ τοῦτον / τοῦτον πρὸς σέ } Adduco tibi hunc, vel Adduco hunc ad te.

σὲ ἐπὶ τὴν εὐδαιμονίαν. Adduco te ad felicitatem. Xenop.

σὲ εἰς ὑποψίαν. Adduco te in ſuſpicionem. Plato.

σὲ εἰς τάξιν ἐκ τῆς ἀταξίας. Ex inordinato te in ordinem adduco. Plato.

ἡγεῖσθαι { στρατείας / στρατευμάτων } Ducere exercitum. Demoſth. *Conduire vne armee.*

καθηγεῖσθαι vel ὑφηγεῖσθαι.

καθηγεῖσθαι { Præire, Præbere ſe alicui ducem.
Plutarch. εἰ μὴ καθηγήσατο Δημόκριτος. *Si non ſe Democritus via ducem præbuiſſet, non, &c.*
Plato Dioniſio, σὺ καθηγοῦ, ἕψομαι δ' ἐγώ. *I præ, ſequar.*
τῆς εἰς τὴν Ἰταλίαν στρατείας. Ducem eſſe expeditionis in Italiam. Plutarch.

¶ ἐκδιδόναι τὴν θυγατέρα. Elocare filiam.

Iſocrates. μετὰ προικὸς δὲ πλείστης, καὶ δόξης μεγίστης ἐξέδωκε τὴν θυγατέρα. *Cum magna dote, & gloria multa filiam ſuam elocauit.*

Demoſth. δι' ἔνδειαν, ἢ ἀπορίαν, μὴ δύνασθαι θυγατέρα ἐκδοθῆναι. *Propter inopiam non poſſe filiam elocari.*

ἐκδιδόναι τινὶ { ἀδελφήν. Dare alicui ſororem in vxorem. Iſoc. in Æginet.
Bailler ſa ſœur en mariage.
θυγατέρα πρὸς γάμον, Dare alicui filiam ſuam vxorem. Plut.
Marier ſa fille auec quelcun.

Elocatio filiarum ἡ ἔκδοσις θυγατέρων.

τὴν τῆς μητρὸς προῖκα τῇ θυγατρὶ εἰς ἔκδοσιν ψηφίζεσθαι. *Matris dotem decernere filiæ in elocationem. Demoſt.*

προίξ { μεγάλη. Magna dos.
ἱκανή Satis magna dos.
δυοῖν ταλάντοιν. Duorum talentorum dos. Demoſth.

ἐπιφέρεσθαι { τάλαντον προῖκα Afferre talentum dotis loco.
πλεῖον ἢ ἑκατὸν μνᾶς προῖκα. Amplius centum minis dotem afferre. Demoſth.

γυνὴ ἄπροικος Mulier quæ nullam dotem affert: vt,

Diodorus, κρεῖττόν ἐστιν εὖ τεθραμμένην λαβεῖν γυναῖκα ἄπροικον, ἢ κακῶς, μετὰ χρημάτων. *Melius eſt bene educatam vxorem ducere indotatam, quam malè educatam cum magna pecunia.*

ἐπίγαμος θυγάτηρ Filia nubilis. Demoſth.

ἔχειν ἡλικίαν τοῦ γάμου. Habere ætatem nuptiis aptam, matura Eſſe nubilem. Demoſth.

Pro quo Iſocr. dixit, λαβεῖν ἡλικίαν πρὸς τὸ μνηστεύεσθαι.

γαμεῖσθαι. Nubere: vt,

Plutarc. in Theſeo. γαμηθεῖσα τῷ Αἰνείᾳ. *Aeneæ nupta.*

Idem, ἑτέρῳ γεγαμημένη. *Alteri nupta.*

μνηστεύσαι τινα κόρην. Ambire puellam, Iſocr.

μετιέναι ὑπατείαν. Ambire conſulatum. Plut.

γάμον }
γάμους } ποιεῖσθαι. Nuptias celebrare. Xenoph. Plut.

συνάπτειν { γάμον. Connubium contrahere.
συνάπτειν { κῆδος. Affinitatem contrahere.

γάμος. Demoſth. Iſocr. }
συζυγία. Gregor. }
σύζευξις. Plato. } Coniugium, Matrimonium, Connubium. *Mariage.*
ἐπιγαμία }
συνοικέσιον }

Significat & γάμος idem quod Nuptiæ.

σύζευξιν ποιεῖσθαι Coniugium inire. Plato De leg.

τοῖς δεσμοῖς τοῦ γάμου συνεζευγμένοι. Connubio ſeu matrimonio iuncti. Baſil.

οἱ συζυγέντες in eadem ſignificatione. Xenoph.

ἐπιγαμία }
κηδεία } Affinitas.
ἀγχιστεία, Propinquitas.

πενθερός, Socer. πενθερά, Socrus. ἀνεψιός, Conſobrinus. ἀνεψιαδοῦς, Sobrinus.

ADIVNCTA.

¶ *Nubere.*

ἀνδρὶ συγκαταζεύγνυσθαι, cum viro matrimonio iungi.

ἁρμόζεσθαι, Phil. ἀνδρὶ ἡρμοσμένη, id eſt, συνημμένη κατὰ γάμους, συγκαταζευγνυμένη, συνοικοῦσα.

γαμεῖν non minus fœminæ tribuitur, quàm viro. ἡ μὲν Στησιχόρῳ γαμεῖται. Plat. in epiſt. ἀναινομένην τούτῳ γήμασθαι, Phalar. huic nubere abnuentem.

δευτέροις ὁμιλεῖν γάμοις & δευτέρῳ ἀνδρὶ ὁμιλεῖν, Chryſoſt. ad ſecunda vota conuolare. δευτέρῳ προσιέναι γάμῳ, idem. δευτέροις συνάπτεσθαι γάμοις, idem.

¶ *Nuptias alicuius ambire.*

τὸν τῶν πλουσίων γάμον διώκειν, Plat. leg. 6. appetere, conſectari, perſequi.

αἰτεῖν πρὸς γάμον, Phil. in matrimonium poſtulare.

μνηστεύειν Diod. idem quod πρὸς γάμον αἰτεῖν.

πρὸς γάμον ἕλκειν ἀπαξιοῦσαν, Gregor. inuitam ac recuſantem ad nuptias pertrahere.

μνηστεύειν γάμον, nuptias ambire. Plato. quod etiam μνᾶσθαι γάμον dicitur Luciano.

γάμον παραιτεῖσθαι, nuptias deprecari, vel, à nuptiis abhorrere.

αἰσχύνεσθαι γάμον, nuptias recuſare. αἰσχυνομένην τούτῳ γήμασθαι, Phalar. ei nubere recuſantem.

¶ *Nuptiæ.*

ἑτέραν λαβεῖν γυναῖκα Demoſt. alteram vxorem accipere.

ἀδελφὰς ἔχομεν γυναῖκας, idem. ſorores in matrimonio habemus.

νέον καὶ καλὸν ὄντα κόρῃ αἰσχρᾷ συγκαταζευγνύμενον Lucian. iuuenem præſtanti forma, cum fœda ac deformi puella matrimonio iunctum.

συνοικεῖν, Herodian. συνῴκει τῇ πρεσβυτάτῃ τῶν Κομμόδου ἀδελφῶν, ſororem Commodi maximam natu in matrimonio tenebat.

αἱ νεωστὶ γεγαμημέναι, vel προσφάτως γεγαμημέναι, Alciph. quæ recens in matrimonium collocatæ fuerant.

οὔπω τοῖς δεσμοῖς τοῦ γάμου συνεζευγμένος, Baſil. nondum matrimonij vinculis aſtrictus. Huic opponitur apud eundem, ὁ κατειλημμένος ὁμοζύγῳ, coniugio mancipatus.

αἱ τῷ γάμῳ κατεχόμεναι. idem. hoc eſt, ὁμοζύγῳ κατειλημμέναι, nuptiis alligatæ.

οὐκ ἔφη προαιρεῖσθαι γαμεῖν, Demoſt. negauit ſibi in animo eſſe nubere.

¶ *Nuptias cum aliqua contrahere.*

παρθένον γαμεῖν, Demoſt. virginem in matrimonium accipere.

ἐπιμεμιγμένην ἑτέρῳ ἀνδρὶ γαμεῖν, idem. vel, ἀνδρὸς ἑτέρου πεῖραν ἤδη λαβοῦσαν, Baſil. viduam vxorem ducere.

γαμεῖν γυναῖκα πλουσίαν, καὶ χρυσίον ἐπιφερομένην πολύ, Æſch. mulierem copioſam, ac plurimum auri ſecum afferentem, in matrimonium ducere.

προσλαμβάνειν, Lucian. ἣν οὐδ' ἄν τις ἠξίωσε τῶν εὐγενῶν προσλαβεῖν, quam nec nobilium quiſquam vxorem aſſumere dignatus fuiſſet, vel, ſuſtinuiſſet.

γαμετὴν ποιεῖσθαι idem quod γαμεῖν. idem. ὅτι νόμῳ σε τὴν γαμετὴν ποιήσεται. ἄμασριν ποιεῖσθαι γυναῖκα, Menn.

ἄγεσθαι γυναῖκα. ἠγάγετο γυναῖκα ἐπὶ γνησίων παίδων σπορᾷ, Phil. vxorẽ procreandæ ſobolis legitimæ cauſa duxit. ἠγάγου με οὐκ ἐρριμμένην γυναῖκα οὐδὲ μίαν τῶν ἀσήμων, Alciph. vxorem me tibi adiunxiſti, mulierem haud abiectam atque ignobili loco natam.

γάμῳ γαμεῖν, idem quod ſimpliciter γαμεῖν. Demoſth. γάμῳ γεγαμηκὼς τὴν ἐμὴν μητέρα matrimonio coniunctus cum matre mea, ἔγημε τὴν θυγατέρα μητέρα, idem.

συνοικίζειν, Gregor. ταύτην σοι συνοίκισον. hanc tibi vxoris loco aſciſce.

μνηστεύειν, aliquando idem ſignificat quòd γαμεῖν, vel certè deſpondere. Diod. ἣν αὐτὸς ὁ Περδίκκας ἦν μεμνηστευκώς, quam Perdiccas ipſe ſibi deſponderat.

¶ *Nuptiis alligati.*

οἱ γεγαμηκότες, οἱ ἐν συζυγίαις, Baſil. οἱ δεσμῷ γάμου συνδεδεμένοι, οἱ ὑπὸ τῷ ζυγῷ τοῦ γάμου κατεχόμενοι.

Cum de muliere ſola ſit ſermo, ἡ ὑπὸ ζυγὸν dicitur Greg. vel, ἡ τῷ ζυγῷ τοῦ γάμου κατεχομένη, Baſil. ἡ γαμουμένη, Phil. ἡ κατειλημμένη ὁμοζύγῳ, Baſil. vxor, σύζυγος, vel, ὁμόζυγος dicitur, quemadmodum & maritus. γαμετὴ item, & συνοικοῦσα.

¶ Exulare, Exilium, Exul.

φυγάδα
φεύγοντα
ἄπολιν
ἔκδοτον
ποιεῖν τινα. Facere aliquem exulem, Pellere in exilium. Demoſth. *Bannir quelcun.*

καταγινώσκειν τινὸς τὴν φυγήν. Commendare aliquem ad exilium. Iſocr.

ζημιοῦσθαι φυγῇ. Mulctari exilio. Iſocr.

φεύγειν τὴν πατρίδα, καὶ τὴν πόλιν. Exulare patria, ciuitate.

κάθοδος τῶν φευγόντων. Reuocatio exulum, Reditus in patriam.

φεύγειν ἀειφυγίαν. Perpetuo exilio mulctari. Plato.

ὑπέχειν φυγήν. Subire exilium. Demoſt.

ἐκβάλλειν
φυγαδεύειν
ἐκ πόλεως. In exilium agere. Demoſt.

¶ ἀπελαύνεσθαι τῆς πόλεως. Pelli vel eiici ex ciuitate. Nonnunquam vox φυγὰς hoc loco additur: vt,

Plutarch. de Cylippo fure, φυγὰς ἀπηλάθη τῆς Σπάρτης. *Pulſus eſt in exilium ex Sparta.*

ἀλῆται
πλανῆται
ἀλώμενοι
τὴν Ἑλλάδα περιήλθομεν. Errones Gręciam pererrauimus Iſoc.

τοὺς φεύγοντας
τοὺς φυγάδας
κατάγειν. Reducere, vel reſtituere exules. Demoſth.
Rappeler ou ramener les bannis.

κάθοδος τῶν φευγόντων. Reductio exulum. Demoſt.

μαρτ

μετοικεῖν.

μετοικεῖν { παρ' ἑτέροις. Apud exteros exulare, nec ciuitatis ius habere. Iſocr.
Ἀθήνησι. Athenis mutato domicilio habitare. Demoſth.
ἐν Σπάρτῃ.

Pauſan. Λυκίσκου μετοικοῦντος ἐν Σπάρτῃ. *Cum Lyciſcus eſſet incola Spartæ, è Meſſene profugus.*

Et, &.

Iſocr. ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. *Video autem nobis & fortunam ſuffragari, & ipſum tempus opitulari.*

2. τε, καί.

Iſocr. φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι, τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν. *Tutiſſimam corporis cuſtodiam putato eſſe, & amicorum tuorum virtutem, & ciuium beneuolentiam.*

3. τε, καὶ, καί.

Iſocr. τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἔν τε τοῖς προειρημένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις. *Magnificentiam tuam oſtendas & in illis, quæ antea dicta ſunt, & in pulchritudine facultatum, & in amicorum beneficiis.*

Vtuntur & Aſynthetis.

Demoſth. ἐκ τούτων ἡμῖν ἦν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαὶ, στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων ἐγίγνοντο. *Inde nobis res pulcherrimæ, laudes, gloria, honores, coronæ, gratiarum actiones ab illis, qui beneficiis affecti fuerunt, reddebantur. Iſocrates autem his rarius vtitur, Demoſthenes vero ſæpiſſime.*

¶ Etiamnum, Adhuc, Adhuc hodie, ἔτι καὶ νῦν, ἔτι.

Iſocr. Ἑλένῃ καὶ Μενελάῳ ἔτι καὶ νῦν ἐν Θεράπναις τῆς Λακωνικῆς θυσίας αὐτοῖς ἁγίας καὶ πατρίους ἐπιτελοῦσιν. *Helenæ & Menelao etiamnum in Therapnes Laconicæ patrio ritu ſacra faciunt.*

Idem. οὐδὲ τὸν ἀδελφὸν ᾐσχύνετο τὸν ἔτι ζῶντα. *Neque eam fratris pudebat adhuc viuentis, vel qui adhuc viuebat.*

¶ Amplius, Præterea, Vlterius, ἔτι.

Demoſth. οὔτε νεανίσκος ἤδη, οὔτε παῖς ἔτι. *Nondum es iuuenis, & non amplius puer.*

Idem, τί τὸ κωλῦον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται; *Quid amplius eum impediet, quo minus progrediatur quocunque velit?*

Demoſthenes, τί πρὸς τούτοις ἔτι; *Quid amplius, vel Quid præterea?*

Lucian. οὗ τίνος ἕνεκα ἔτι κάμνοιμεν; *Cur enim amplius laboraremus?*

οὐκ ἔτι
οὐκέτι } Non amplius. *Non plus, non pas d'auantage, ſans aller plus auant.*
μηκέτι

Luc. in Piſo. οὐκ ἂν ἀφεθείης ἔτι.

Demoſth. οὐκ ἔτι τοῦθ' ὁ λέγων ἀδικεῖ. *Non amplius in eo delinquit orator.*

Idem. ἵνα δὲ παύσωμαι λέγων, καὶ μηκέτι πλείονα χρόνον διατρίβω.

καὶ πολλὰ πρὸς τούτοις ἕτερα. Et prætorea multa alia. Demoſth.

χωρὶς δὲ τούτων. Præterea, Adhæc. Lycurg.

¶ Cùm, eum.

μὲν δὲ.

Demoſth. πᾶσα μὲν παιδεία δι' ἐπιστήμης καὶ μελέτης τινὸς συνέστηκεν· ἡ δὲ φιλοσοφία καὶ μάλιστα τῶν ἄλλων. *Cum omnis diſciplina ſcientia & exercitatione quadam continetur: tum philoſophia etiam præ cæteris.*

2. μὲν μάλιστα δὲ.

Iſocr. ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν, μάλιστα δὲ ὑμῖν τοῖς πλείστων κυρίοις οὖσι. *Cùm omnibus conuenit magnifacere ſapientiam, tum vobis (principibus) qui in multos imperium habetis, in primis.*

Demoſth. ἡ ἀπιστία πᾶσι μὲν ἐστὶν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. *Cum diffidentia omnibus ſalutaris eſt, tum vero maximè prodeſt ciuitatibus contra tyrannos.*

Idem, πάντα μὲν ὅσα ἐστὶ τὰ ὀνείδη φευκτέον, μάλιστα δὲ τοῦτο. *Cùm omnia probra vitanda ſunt, tum maximè illud.*

3. μὲν οὐχ ἥκιστα δὲ.

Demoſth. πολλαχόθεν μὲν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην τ' ἀναιδείαν καὶ τὴν βασκανίαν οὐχ ἥκιστα δὲ ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη. *Aduerſarij iniquitas & impudentia cum ex multis rebus, tum verò ex iis, quæ de fortuna diſſeruit, conſpici poteſt.*

Ponitur & μάλιστα, diſſimulata voce μὲν: vt, *Iſoc.* πολλῶν δὲ ὄντων ἃ δεῖ φεύγειν, ἐκεῖνο μάλιστα φυλακτέον, ὅπως μηδὲ ἀνάνδρως φανησόμεθα διαπραττόμενοι. *Cùm autem multa ſint, quæ vitare oporteat, tum illud maximè cauendum eſt, ne quid effœminate facere videamur.*

Ad eundem modum & vox ἥκιστα ſine præcedente particula μὲν ponitur: vt,

Iſocr. πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ἐπιτηδεύμασι τούτοις, οὐχ ἥκιστά με κἀκεῖνο παρακάλεσεν ὅτι. *Cum multa me hortantur, vt in his inſtitutis perſeuerem, tum non parum illud me incitat, quod, &c.*

Vbi ſimul nota οὐχ ἥκιστα, ſæpè, Non parum, ſignificare.

Xenoph. ἅπερ οὐχ ἥκιστα παροξύνει ὑπὲρ τῆς πατρίδος κινδυνεύειν. *Quæ non parum excitant (homines) ad ſubeunda pericula pro patria.*

Sed in his duobus exemplis, vbi voces μάλιστα *&* ἥκιστα *hoc modo vſurpantur, nota in priore membro poni genitiuos conſequentiam ſignificantes.*

Redditur etiam & οὐχ ἥκιστα, per Maximè verò: vt,

Xenoph. πάντα μὲν ἐμοί γε δοκεῖ τὰ καλὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ ἡ σωφροσύνη. *Videntur mihi quidem omnia quæ honeſta ſunt, per exercitationem comparari poſſe, maximè vero temperantia.*

In poſteriori membro ſæpè cum illo δὲ etiam πολὺ iunctum inuenitur: vt,

Plato in Critone: πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ ηὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις. *Cùm te ſæpè antè in tota vita beatum prædicaui propter mores, tum vel maximè quod ſenectutem tuam nunquam tibi grauem eſſe ſenſerim.*

Iſocrates, ἐν πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. *Cum multis locis, Demonice, quantum interſit inter ſapientum & ſtultorum opiniones & voluntates, reperire poſſumus, tum vel eorum maxima diſſimilitudo in ea, quæ inter ipſos eſt, vitæ coniunctione perſpicitur.*

πάντων μάλιστα }
πολὺ μάλιστα } ὧν ἐγὼ οἶδα. Maximè omnium quos ego noui, Inter omnes quos ego noui, *Par deſſus tous, ou d'entre tous ceux que ie cognois.*

Xenoph. πάντων μὲν γὰρ ὧν ἐγὼ οἶδα μάλιστα ἔμελεν αὐτῷ εἰδέναι, ὅτῳ, &c. *Omnium maximè, quos ego noui, ei curæ erat, vt ſciret, quem progreſſum, &c.*

Idem, πολὺ μάλιστα, ὧν ἐγὼ οἶδα, ὅτι λέγοι τις ἀκούσαντας ὁμολογοῦντας παρεῖχε. *Inter omnes, quos ego quidem noui, cùm loqueretur (Socrates) auditores ſibi conſentientes reddebat.*

¶ Obſtrepere, Tumultuari, Reclamare, θορυβεῖν.

Demoſth. καί μοι πρὸς Διὸς μηδεὶς θορυβήσῃ. *Et mihi per Iouem nemo obſtrepet. Nemo obturbet.*

Xenoph. οἱ γὰρ οἰκέται ἀνειμένως ἔπινον καὶ ἐθορύβουν. *Serui enim diſſolutè bibebant & tumultuabantur.*

θόρυβος ταραχὴ ἀλαλὴ κυδοιμὸς ὀρυμαγδὸς ὄχλησις ὄχλος ῥάθαγος ὄτοβος τάραχος τύρβη	Tumultus, Turba.

θόρυβον

ποιεῖν. Tumultum excitare, Dem.

συμβαίνειν ἐν τῇ πόλει. Tumultum accidere vel fieri in ciuitate, Demoſt.

γίγνεσθαι παρά τινων. Tumultum fieri vel oriri ab aliquibus. Demoſth.

θορυβεῖσθαι. Tumultuari. Xenoph.

ADIVNCTA.

¶ *Tumultus.*

ἀστικῶν θορύβων ἀφίστασθαι, Theoph. ab vrbicis tumultibus abſiſtere. θορύβων ἀπέχεσθαι, vel, vt Baſil. ἀπαλλάττεσθαι.

παντοδαπαῖς ἀκαταστασίαις καὶ ταραχαῖς ἐνειλεῖσθαι, Baſil. inuolui, implicari.

τοὺς πολιτικοὺς κλύδωνας, καὶ θορύβους τοῦ ἄστεος ἐκφεύγειν, Theoph. à forenſibus fluctibus, vrbiſque tumultibus ſe aſſerere.

αἰφνίδιος καὶ ἀπροσδόκητος ταραχὴ ἡμᾶς καταλαμβάνει Phil.

πάταγος, crepitus, ſtrepitus. πάταγος ἐξηχεῖτο πολύς. idem.

καθιστάναι τὸν θόρυβον, ſedare. μικρὸν ἀπ' ἐκείνου καταστὰς τοῦ θορύβου τῆς ψυχῆς, Chryſ. 1. de Sacerd. ab eo animi tumultu nonnihil ſedatus.

¶ Efficere, Perficere.

ἐπιτελεῖν.

τι. Aliἐπιτελεῖν

τί. Aliquid perficere: vt,

Iſocr. βουλεύου βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. *Tardè deliberes, perficias autem cito quæ decreuiſti, hoc eſt, Priuſquam incipias conſulto, at vbi conſulueris, maturè facto opus eſt.*

τὶ τοῖς ἔργοις. Re ipſa aliquid efficere Iſocr.

μείζω καὶ χαλεπώτερα. Maiora & difficiliora perficere. Iſocr.

In paſſiuo.

Iſocrates, οὐ πολλαῖς ἡμέραις ὕστερον ἐπιτελεσθέντος τοῦ λόγου, οὕτω μετέπεσον. *Non multis diebus poſt, abſoluta oratione hac, ita deciderunt.*

2. ἐπιτελεστέον.

Iſocr. ἀλλ' οὐδὲν μᾶλλον ἀποστατέον ἐστὶν αὐτῶν, ἀλλ' ἐπιτελεστέον, ἕως ἂν ἔτι ζῆν δυνώμεθα. *Sed tamen non ideo deſiſtendum eſt, imo perficiendum, dum vixerimus.*

3. διαπράττεσθαι.

διαπράττεσθαι

τί. Aliquid perficere: vt,

Iſoc. ὁ μὲν ἅπανθ' ὅσων ἐδεῖτο διαπραξάμενος ἀπῆλθεν. *Ille cùm, quibus opus fuit, perfeciſſet, abiit.*

Lycurgus, οὐ διεπράξατο, ὅπερ ἐπεχείρησεν. *Non perfecit quod conatus eſt.*

ὥς τι γένοιτο. Perficere vt fiat. Lyſias.

ὅπως εἰσέλθοι. Efficere vt ingrediatur. Xenoph.

τῶν ἀγγέλων γενέσθαι (cum infinitiuo) vt vnus eſſet nunciator effeciſſe & obtinuiſſe. Plato lib. 2. de Repub.

In paſſiuo.

Iſocr. διαπεπραγμένα γὰρ, ἃ τῶν ἐκείνου προγόνων οὐδεὶς πώποτε. *Effecta ſunt, quæ nec maiorum quiſquam effeciſſet.*

Plut. διαπέπρακτ' ἂν ὁ πόλεμος. *Iam bellum confectum eſſet.*

Pro διαπράττομαι etiam καταπράττω, vel, ἐργάζομαι, item ἀπεργάζομαι & ἐξεργάζομαι vſurpantur.

4. ἀπεργάζεσθαι.

Plut. ἡ τιμωρία ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. *Pœna reddit homines tardiores ad ſcelera. Vbi nota phraſin,* ὀκνηρὸν ἀπεργάζεσθαι πρός τι. *Tardiorem reddere ad aliquid.*

5. ἐξεργάζεσθαι.

Iſocr. μεγαλόφρονας μὲν νόμιζε τοὺς ἐξεργάζεσθαι δυναμένους, οἷς ἂν ἐπιχειρῶσι. *Magnanimos eſſe puta illos, qui perficere poſſunt iſta, quæ aggrediuntur.*

κατὰ πάντα τέλειον. Ex omni parte abſolutum ſeu perfectum. Ariſtot.

τέλειος ἄνθρωπος. Perfectus homo. Plutarch.

6. περαίνειν.

περαίνειν
τί. Aliquid abſolutè ad finem perducere: vt,
Ariſtoph. πέραινε, ὅ, τι λέγεις ἀνύσας ποτέ. *Ad finem perducas & perficias quod dixisti.*
λόγον. Orationem abſoluere. Iſocr. in Panath.

Idem De permut. τοὺς δὲ λόγους περαίνειν ἐπιχειρήσω, μικρὸν δὲ προειπών. *Orationes has abſoluam, & ad finem perducam, pauca præfatus.*

In paſſiuo.

Plato. εἰ δοκεῖ χρῆναι διαπεπεράνθαι τὸν λόγον. *Si videtur oportere abſolui & concludi orationem.*

Idem, ὁ δὴ πρότερος χρόνος διεπεραίνετο. *Prius illud tempus exactum & traductum eſt.*

Iſocr. ad Philipp. οὐδὲν ἂν ἡγούμην περανθῆναι τούτων. *Nihil horum abſolui & perfici poſſe arbitrabar.*

ADIVNCTA.

¶ *Perficere.*

εἰς δύναμιν ἐπεχείρησε τοῦτο ἐπιτελεῖν, Plat. hoc efficere pro viribus adnixus eſt.

ὥστε ἐπιτελέσαι τι ὧν ἐβούλετο. Dion. & Baſil. κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, tametſi re ipſa adulterium minimè perpetrarit, & compleuerit.

ἐπιτελῆ ποιεῖν, Herodot. idem quod ἐπιτελεῖν.

ἐπιτελὲς γίνεσθαι. idem quod ἐπιτελεῖσθαι, Gregor. μὴ ἐπιτελῆ γενέσθαι, μηδὲ εἰς ἔργον ἀχθῆναι τὴν τοῦ ἀνδρὸς ἐγχείρησιν, id eſt, ἀτελῆ id in cauſa fuit, quo minus ille quod conabatur, expleret, ac perficeret. εἰς ἔργον ἄγειν, *mettre en execution.* Baſ. εἰς ἔργον ἄγειν τὰς ἐντολὰς τοῦ κυρίου, domini iuſſa faceſſere, exequi. GALL. *mettre en œuure.* εἰς ἔργον περιελθεῖν, idem quod εἰς ἔργον ἀχθῆναι, Procop. περιῆλθεν εἰς ἔργον ὁ λόγος quod dixerat, re præſtitit, nec vanus fuit ſermo.

ἀναπληροῦν, Plat. in Sympoſ. εἴ τι ἐξέλιπον, ἀναπληρώσω, ſi quid à me omiſſum eſt, explebo.

ἀναπληρῶσαι τὰ λειπόμενα, Baſil. quæ deſunt, vel, quæ reſtant, explere.

διαπεραίνειν. διαπεράνασθαι ὃ προθυμοῦμαι, Plato in Phædr. efficere quod propono.

διαπρήξαντες τὰ ἄλλα ὧν εἵνεκεν ἀφίκοντο, Herodod. confectis aliis rebus, ob quas venerant.

διανύειν, Greg. διανύει τὸ σπουδαζόμενον, efficere quod ſtudebat vel contendebat.

οὐδ᾽ ἐξὸν ὥστε τὸν λόγον διανύσαι, Chryſ. inchoatum ſermonem abſoluere.

συμπεραίνειν. συμπεραίνειν τὰ τῇ βουλῇ δεδογμένα, ſenatus decreta conficere.

εἰ γὰρ ποιεῖς, ἃ ἐπινοεῖς, Plat. in Crit. id eſt, διαπράξεις.

¶ Eligere, Deligere, Anteferre, Præferre. Malle, Creare.

αἱρεῖσθαι.

τί. Aliquid deligere: vt,

Iſocr. δεῖ ἑλέσθαι ἡμᾶς, μὴ ὃ τοῖς συμμάχοις ῥᾷστον, ἀλλ᾽ ὃ πρέπον ἐστὶν ἡμῖν. *Decet nos eligere, non quod ſociis facillimum, ſed quod nobis decorum ſit.*

Idem, ἑλέσθαι τὰ συμφέροντα. *Eligere vtilia.*

τινὰ στρατηγὸν τοῦ πολέμου. Eligere aliquem belli præſidem (cum accuſ. perſonæ) Xenoph.

Idem, αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους στρατείας. *Eligunt ſeu creant ipſum ducem expeditionis contra Medos. Sic Demoſt.* αἱρεῖσθαι πρέσβεις πρός τινα. *Eligere legatos, qui ad aliquem proficiſcantur.* αἱρεῖσθαί τινα δικαστήν. *Eligere aliquem, qui iudex ſit. Idem.*

μᾶλλον τὴν παροῦσαν εἰρήνην, ἢ τὴν ἀρχήν. Potius eligere præſentem pacem, quàm imperium. Iſocr.

προαιρεῖσθαι,

πολὺ μᾶλλον τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας, ἤ. Multò magis vel libentius eligere commoda concordiæ, quàm, &c. Iſocr.

πολλῷ μᾶλλον τεθνάναι, ἤ: vt,

Plato in Apolog. καὶ πολλῷ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι, ἢ ἐκείνως ζῆν. *Et multo libentius volo ſic me defendens mori, quam iſto modo viuere.*

αἱρεῖν δεῖ τοῖς ἰδίοις ἀγαθοῖς μᾶλλον ἢ τῶν κοινῶν ἀπολαύειν (cum infinitiuo & comparatiuo μᾶλλον) Magis eligere, hoc eſt, potius velle, vt maneas in propriis bonis, quàm vt communibus fruaris. Iſocr.

ἀντὶ τοῦ ζῆν εὐκλεῶς ἀποθνήσκειν. Vitæ mortem glorioſam & illuſtrem anteferre. Demoſt.

ἀντὶ πάντων τὸ καλόν. Eligere honeſtatem præ omnibus aliis rebus, id eſt, honeſtatem omnibus aliis rebus anteferre: vel, Malle honeſtatem, quàm reliqua omnia. Iſocr.

In paſſiuo.

Xenoph. ὁ αἱρεθῆναι ἐπιθυμῶν ἵππαρχος. *Qui cupit eligi, ſcilicet in ducem.*

Demoſth. ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμών. *Delectus enim eſt hac occaſione dux.*

Plutarch. αἱρεθεὶς ἀθλοθέτης. *Electus vel deſignatus eſt athloteta.*

Plato. ᾑρημένος ἐπὶ τὴν ἀρχήν. *Electus ad imperium.*

Demoſt. οἱ ᾑρημένοι ὑπὸ τῆς βουλῆς ἐβασάνιζον αὐτόν. *Delecti à Senatu examinabant eum.*

¶ ἀναγορεύειν τινὰ ὕπατον. Declarare vel renunciare aliquem conſulem. Plut.

Electus, Delectus, Creatus. αἱρετός.

Lycurg. ἄνδρες αἱρετοί *Viri delecti.*

Deſignatus, Renunciatus, Proclamatus, Creatus.

ἀναῤῥηθείς.

Plutarch. ἀνεῤῥήθη ὕπατος. Renunciatus eſt conſul.

ἀνάῤῥησις. Renunciatio, Proclamatio.

αἵρεσις. Electio, Optio.

αἵρεσιν

δεῖ ποιεῖν καὶ κρίσιν περὶ τῶν πραγμάτων. Oportet eligere res, & iudicare rectè de iiſdem. Iſocr.

διδόναι τινί. Electionem vel optionem alicui dare. Iſocr. Demoſt.

περὶ τὰς αἱρέσεις τῶν πραγμάτων ἁμαρτάνειν. In electione rerum, vel potius, In eligendis rebus errare Iſocr.

αἱρετέον.

Ariſtot. ποῖα δ᾽ ἀντὶ ποίων αἱρετέον, οὐ ῥᾴδιον ἀποδοῦναι. *Quæ potius præ aliis eligenda ſint non facilè exponi poteſt.*

Iſocr. εἰ μὴ ἔστι τὸ καλῶς σώζεσθαι, θάνατος ἡμῖν αἱρετέος ἐστί. *Si non concedatur nobis honeſtè ſeruari, mors nobis eligenda & anteferenda eſt.*

2. προαιρεῖσθαι.

μὴ τοὺς ἡδίστους, ἀλλὰ τοὺς ὠφελιμωτάτους τῶν λόγων. Eligere non ſuauiſſimus, ſed vtiliſſimas orationes. Iſocr.

τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς (cum infinitiuo & μᾶλλον) Eligere mortem potius, quàm vitam turpem; vel, Malle mori, quàm αἱρεῖσθαι

quàm turpiter viuere. Iſoc.

μᾶλλον βίον μέτριον μετὰ δικαιοσύνης ἢ πλοῦτον μέγαν μετ' ἀδικίας. Anteponere mediocrem victum iuſte partum diuitiis iniuſtis: vel. Eligere potius mediocrem victum iuſtè partum quàm diuitias iniuſtas. Iſocr.

ἀντὶ ζωῆς θάνατον. Mortem potius eligere, quàm vitam, vel Mortem vitæ anteferre. Demoſt.

Xenoph. προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος. *Illud quod dulcius eſt, anteferre præſtantior id eſt, voluptatem virtuti.*

ἕνα μάλιστα φίλον ἐκ τῶν ἄλλων ἁπάντων. Eligere aliquem amicum ex reliquis omnibus. Lucian. *Vbi nota vocem* μάλιστα.

τὶ ἐξ ἁπάντων. Ex omnibus eligere aliquid: vt,

Iſocr. ταύτην ἐξ ἁπασῶν προειλόμην τὴν ὑπόθεσιν. *Hoc argumentum ex omnibus delegi.*

ADIVNCTA.

¶ *Eligere aliquid ex diuerſis rebus.*

οἴει συμφορώτερον εἶναι ζῆν μᾶλλον ἢ τεθνάναι, Plat. ſatius tibi eſſe putas viuere, quàm mori.

ἐν ταῖς μάχαις αἱρεῖσθαι πρὸ τῆς ἥττης τε καὶ δουλείας θάνατον, idem. in prælijs mori optabilius ducere, quàm vinci, atque in ſeruitutem redigi.

θάνατον ἑλέσθαι μᾶλλον ἢ βίον αἰσχρόν, Demoſt. potiorem habere mortem, quàm turpem & ignominioſam vitam.

Cum præpoſitione ἀντὶ. Demoſt. δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς προῃρῆσθαι, gloriam vitæ tutæ præoptare. Et Iſocrat. ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν καλῶς αἱρεῖσθαι, optatius habere honeſte & glorioſe mori, quàm viuere. Atque hic etiam compoſito quandoque Græci vtuntur. Demoſt. κινδυνεύειν, ἀντὶ τοῦ μετὰ ἀσφαλείας ζῆν, προῄρηνται, id eſt, ἀντὶ τῆς ἀσφαλοῦς ζωῆς, apertior enim eſt ſenſus cum Genit.

πολλοὺς ἂν θανάτους ἀντὶ τῆσδε τῆς λειτουργίας εἱλόμην, Syneſ. prætuliſſem.

ἀνθελέσθαι, idem quod ἑλέσθαι ἀντί. ἀνθελέσθαι φιλοσοφίαν τῆς διατριβῆς ταύτης, Syneſ. philoſophiam huic ſtudio atque occupationi anteferre.

μᾶλλον ἑλέσθαι, Luc. ἑλοίμην ἂν τεθνάναι μᾶλλον ἢ &c.

θᾶττον ἑλέσθαι, idem quod μᾶλλον ἑλέσθαι, Luc. πολὺ ἂν θᾶττον ἑλοίμην &c.

αἱρεῖσθαι πρό, idem quod προαιρεῖσθαι. τὸ συμφέρον πρὸ τῆς ἡδονῆς αἱρεῖσθαι, Phil. vtilitatem voluptate antiquiorem habere. Et Thucyd. εἱλόμεθα γὰρ πρὸ τούτου αἰσχίστῳ ὀλέθρῳ διαφθαρῆναι, id est, ἐξελεξάμεθα, vt Basil. loquitur.

αἱρετώτερον ἡμῖν ἐστὶ μᾶλλον, &c. Iſor. optabilius eſt nobis.

τὰ λυσιτελῆ ἐάσας, τὸ δίκαιον προειλόμην, idem. commodis meis, id quod iuſtum erat, antetuli.

τὸ μὲν ἑλέσθαι, τὸ δὲ ἀποστρέφεσθαι, Phil. illud amplecti, hoc aduerſari.

¶ *Electionem alicui dare.*

αἵρεσιν ὑμῖν δίδωμι τί πρῶτον βουλομένοις ὑμῖν ἐστὶν ἀκούειν, Demoſth. arbitrij veſtri facere, quidnam primum audire velitis.

αἱρέσεως μοι δοθείσης, ἤ, &c. idem. cum mihi optio data eſſet, vtrum, &c.

δέδωκα αἵρεσιν τούτῳ ὁποτέραν βούλεται τῶν μερίδων λαβεῖν, optionem huic feci, ex duabus partibus, vtram mallet, acciperet.

εἰ αἵρεσίς μοι προτεθείη, πότερα βούλομαι, &c. Lucian. ſi optio mea eſſet, vtrum, &c. Et Chryſoſt. de ſacerd. εἰ προὔθηκέ τίς μοι αἵρεσιν ποῦ μᾶλλον βουλοίμην εὐδοκιμεῖν, ἐν τῇ τῆς ἐκκλησίας ἢ κατὰ τὸν τῶν μοναχῶν βίον, μυριάκις ἂν ψήφοις τὸ πρότερον ἐξελεξάμην ἔγωγε, Si quis mihi optionem proponeret, vtrum mallem, &c.

προαιρετέον ἀντὶ, &c.

Xenoph. θάνατον ἀντ' αὐτοῦ προαιρετέον ἦν. *Mors præ illo, vel potius, quàm illud, eligenda fuit.*

Demoſt. τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὰ βέλτιστα καὶ τὰ σώζοντα ἀντὶ τῶν ἡδίστων προαιρετέον. *Oratoribus & auditoribus optima & ſalutaria præferenda ſunt rebus iucundiſsimis.*

Eodem modo vſurpatur vox προτιμητέον.

Aeſchines, τὴν εὐγνωμοσύνην ἀεὶ προτιμητέον τοῦ λόγου. *Beneuolentia ſemper eloquentia præferenda eſt.*

ʒ. ἐκλέγειν vel ἐκλέγεσθαι.

Iſocr. ad Nicocl. εἴ τις ἐκλέξειε καὶ τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας. *Si quis è præſtantibus poetis, eas quas ſententias vocant, eligeret.*

Idem in Euag. ἐκλεγόμενοι τὸ βέλτιστον.

Idem in Soph. ὑπέσχοντο δικάζεσθαι διδάξειν, ἐκλεξάμενοι τὸ δυσχερέστατον τῶν ὀνομάτων. *Promiſerunt ſe docturos actionem iudicandi, odioſiſſimum illud nomen deligentes.*

Idem De pace, ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον. *Decet vos ex omnibus illis, quæ dicta ſunt, illud elige-*

eligere, quod optimum eſt. Vbi obiter nota præpoſ. ἐξ cum ſuo caſu.

Dirigere telum ad ſcopum, πρὸς τὸν σκοπὸν ἀπευθύνειν τὸ βέλος, Baſil.

4. στοχάζεσθαι.

Demoſt. οὕτως ἐκόλαζον καὶ τιμωροῦντο, ὡς εἰ αἴσθοιντο διαφθείροντάς τινας, ὥστε καὶ στηλίτας ποιεῖν. *Adeo puniebant munera in corruptionem dantes, vt eos etiam infames redderent. Hic, vt & ſæpe alias, κολάζειν & τιμωρεῖσθαι tanquam ſynonyma copulantur.*

ἐνδεέστερον τιμωρεῖσθαι τινα, ἢ προσῆκε. Minori pœna afficere, vel Leuius punire aliquem, quàm par eſt & decet: vt,

Iſocr. ad Philipp. ὡς μὴ ἐτιμωρήσω αὐτὸν ἐνδεέστερον ἢ προσῆκεν.

{ δοῦναι. Pœnas dare, Pœnas luere.

Iſocr. τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν. *Reipſa pœnas dederunt.*

δοῦναί τινι. (cum datiuo perſonæ) Dare alicui pœnas. Iſocrates.

Idem, τούτῳ τοῖς ἔργοις τιμωρίαν ἔδοσαν. *Huic re ipſa pœnas dederunt. Vbi nota datiuum inſtrumenti.*

λαβεῖν παρά τινος. Pœnas ſumere de aliquo.

Iſocr. ἐξὸν αὐτοῖς, εἰ ἀπέδειξαν ἃ πεπόνθασι, τὴν μεγίστην παρ' ἐμοῦ λαβεῖν τιμωρίαν. *Licet ipſis ſi demonſtrarent, quæ à me mala paſſi eſſent, grauiſſimum de me ſumere ſupplicium.*

δοῦναι τῶν ἁμαρτημάτων ἀντίρροπον. Dare pœnas peccatis dignas. Chryſoſt.

ὑπέχειν. Pœnam ſubire. Iſocr.

τιμωρίαν

μεγίστην ὑπέχειν.

Iſocr. ἀξιῶ, εἰ μὴ τοιούτοις, οἷς οὐδεὶς ἄλλος χρῶμαι λόγοις, τὴν μεγίστην ὑπέχειν τιμωρίαν. *Maximum feram ſupplicium, niſi talibus vſus fuero ſermonibus, quibus non alius quiſquam.*

ἐσχάτην ὁρίζειν περί τινος. Extremam pœnam de aliquo delicto conſtituere. Lycurg.

ὑπομένειν τὴν παρὰ τῶν θεῶν.

Iſocr. ὑπομένουσι τὰς παρὰ τῶν ἀνθρώπων, καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας. *Dant pœnas diis & hominibus.*

τίνειν. Pœnas dare.

Plato, τιμωρίαν αὐτῷ προσήκουσαν τίσεις. *Meritas ei dabis pœnas.*

ἀνασχέσθαι. Pœnas ſuſtinere. Herodian.

ἴσην ποιεῖσθαι περὶ τοῦ σώματος καὶ τῶν χρημάτων. Æqualem pœnam ſtatuere de corpore & de pecunia. Iſocr.

ἄνισον ποιεῖσθαι ὑπέρ τινος ἐγκλήματος.

Iſocr. ἐνθυμεῖσθε εἰ δίκαιόν ἐστιν ὑπὲρ τηλικούτων τῶν ἐγκλημάτων οὕτως ἀνίσους καὶ δεινὰς ποιεῖσθαι τὰς τιμωρίας. *Cogitate an æquum ſit, ob tanta crimina tam iniquas & acerbas exigere pœnas.*

τάττειν τῶν ἁμαρτημάτων: vt,

Demoſth. τῶν ἀκουσίων ἁμαρτημάτων τιμωρίαν ἐλάττω, ἢ τῶν ἑκουσίων τάξαι δίκαιον. *Quod delictorum non voluntariorum minor pœna, quam de induſtria commiſſorum, ſanciatur, iuſtum eſt.*

ὑποτίνειν } τὴν ἀξίαν. Meritas pœnas dare. Luc. Vbi notandum eſt
ὑπέχειν } accuſatiuum τιμωρίαν ſubaudiendum eſſe.

δημοσίας τιμωρίας δίκαιός ἐστι τυγχάνειν. Publica pœna dignus eſt. Demoſt.

2. κολάζειν.

κολάζειν

τινά. Punire aliquem. Demoſt. Iſocr. & alij.

τινὰ ταῖς μεγίσταις τιμωρίαις. Maximis ſupplicis aliquem punire: vt,

Iſocr. Ζεὺς Τάνταλον γεννήσας, διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν. *Iupiter Tantalum filium propter improbitatem, grauiſſimis mulctauit pœnis.*

τινὰ ζημίαις. Aliquem afficere pœnis: vt,

Iſocr. ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, αἷσπερ τοὺς ἐξαμαρτάνοντας. *Iiſdem pœnis affice calumniatores, quibus delinquentes.*

τινὰ ἐσχάταις τιμωρίαις. Extremis pœnis afficere aliquem. Iſocr.

τινὰ τῇ μεγίστῃ ζημίᾳ vel τιμωρίᾳ. Maxima pœna afficere aliquem: vt,

Iſocr. τῇ μεγίστῃ ζημίᾳ δίκαιόν ἐστι κολάζειν ἄρχοντας τοὺς περὶ τοὺς νόμους ἐξαμαρτάνοντας. *Iuſtum eſt magiſtratus maxima pœna afficere eos, qui contra leges delinquunt.*

τινὰ μεγάλαις ζημίαις. Magnis pœnis aliquem afficere. Lycur. contra Leocr.

In paſſiuo.

Xenoph. κολάζεσθαι ὑπὸ τῶν ἁμαρτημάτων. *A propriis peccatis caſtigari.*

Plutarch. ὑπὸ τοῦ θεοῦ κολασθῆναι. *A Deo caſtigari.*

κεκολασμένη δίαιτα. *Moderata diata, & cuius luxuries quaſi caſtigata eſt. Lucian.*

3. κολαστέον.

Plutarch. πότε καὶ πῶς καὶ μέχρι πόσου κολαστέον ἕκαστον τῶν πταισμάτων.

αἰκίζεσθαί τινα. Aliquem duriter tractare, Omni cruciatu aliquem affligere. Iſocr. Plutarch. Xenoph.

διδόναι. Pœnas dare. Iſocr.

Xenoph. τοὺς νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι. *Quidam qui leges violant, effugiunt, ne dent pœnas.*

διδόναι τινί. Pœnas alicui dare. Iſocr.

λαβεῖν παρά τινος. Pœnas vel ſupplicium de aliquo ſumere.

Iſocr. εἰ μὲν τούτῳ δώσω δίκην, παρ' οὗ λαβεῖν με προσήκει. *Si dedero huic pœnas, de quo me ſupplicium ſumere conueniebat.*

λαβεῖν τῶν γεγενημένων. Pœnas ſumere de illis quæ facta ſunt. Iſocr.

δίκην

δοῦναι τῶν ἁμαρτημάτων. Puniri propter peccata.

δοῦναι τῶν ἀδικημάτων.

Demoſth. οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων ἀδικημάτων. *An non putas te pœnas daturum tot & tantorum ſcelerum?*

Plutarch.in Pædagog. καὶ τῆς ἀκαιρίας λαλιᾶς οὐ μεμπτὴν ἔδωκε δίκην. *Et intempeſtiuæ loquacitatis non iniuſtas dedit pœnas.*

ἀξίας δοῦναι ὑπὲρ τούτων. Pro his rebus meritas pœnas dare. Iſocr.

δοῦναί τινι ὑπὲρ πονηριῶν Pro ſceleribus alicui pœnas dare.

Iſocr. ὑπὲρ τῶν πονηριῶν ἔδοσαν τοῖς θεοῖς δίκας.

ἱκανὴν ἐκτίσαι. Pœnam ſufficientem exoluere.

Lucian. ἱκανὴν ἤδη δίκην ἐκτέτικα. *Pœnam ſufficientem iam exolui.*

ὑπέχειν τινός.

Chryſoſt. Ἠλεὶ πατὴρ ὁ καλὸς δίκην ὑπέσχε παίδων παρανομίας. *Pius pater Eli pœnas luit iniquitatis filiorum ſuorum.*

ὑπέχειν τοῖς χρήμασι Bonis & facultatibus pœnas luere. Iſocrates.

ἀποτίειν. Pœnas luere.

Philo De mundo. τὴν κατ' ἀπειθούντων ἀχαρίστων δίκην ἀποτίσει. *Pœnas luet, quæ aduerſus ingratos liberos conſtituta ſunt.*

δίκη
ζημία
τιμωρία
ἐπιτίμιον
ἀμοιβὴ
ποινὴ
τιμὴ
ἐπιτίμημα
τίσις
ἐπιπλήκτισις

Pœna, Supplicium, Punitio. Demoſt. & Iſocr. *Punition, Chaſtiment.*

ἔλαττον τῶν ἀδικημάτων τὸ ἐπιτίμιον εἶναι. Pœnam eſſe minorem, quàm delicta ſunt.

τάττειν ζημίαν θάνατον. Conſtituere ſupplicium capitale. Demoſt.

τούτοις θάνατός ἐστιν ἡ ζημία. His capitis ſupplicium, vel mortis pœna conſtituta eſt Xenoph.

ποιεῖν οἷς θάνατός ἐστι ζημία. Deſignare illa, quæ capitis pœnam merentur.

Demoſt.

Demoſthenes, τὴν δὲ νύκτα, οἷς θάνατος ἡ ζημία, ταῦτα ποιεῖς. *Noctu autem illa facis, quæ capitalia ſunt, ſeu quæ mortem merentur,*

Plutarch. Σόλων ἐρωτηθεὶς διὰ τί κατὰ τῶν τυπτόντων τοὺς [illegible]τέρας ἐπιτίμιον οὐχ ὥρισεν, ἔφη, ὅτι οὐχ ὑπέλαβον τοιούτους τινὰς ἔσεσθαι. *Solon i[illegible]rrogatus, cur nullas pœnas aduerſus eos, qui patres verberaſſent, conſtituiſſet, Quod, inquit nullos tales exſtituros eſſe exiſtimabam. Vbi nota phraſin* ὁρίζειν ἐπιτίμιον κατά τινος.

ὁρίζειν

τιμωρίαν περί τινος. Pœnam conſtituere de aliqua re.

Lycurg. contra Leocr. περὶ τούτων οἱ νόμοι ἐσχάτας τιμωρίας ὁρίζουσι. *De his leges extrema ſupplicia conſtituunt.*

ἐπιτίμιον κατὰ τοὺς ἀδικοῦντας. Conſtituere pœnam contra iniurioſos. Plutarch.

ζημίαν τινί. Alicui pœnam conſtituere, *Et paßiuè: vt,* ζημίαι τοῖς ἁμαρτάνουσιν ὡρισμέναι εἰσί. *Delinquentibus pœnæ definitæ ſeu conſtitutæ ſunt.*

τινὶ θάνατον ζημίαν. Capitis pœnam in aliquem conſtituere. Demoſth. Dicunt etiam, τάττειν τινὶ θάνατον ζημίαν.

ζημίαις περιπίπτειν. Pœnis affici.

Iſocr. δεῖ κακῶς διοικήσοντας, μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἀλλὰ μεγίσταις ζημίαις περιπίπτειν. *Decet illos, qui malè res ſuas adminiſtrant nullam veniam conſequi, ſed grauißimis pœnis affici.*

Impunè dimittere.

ἀφεῖναι vel ἐᾶν τινα { ἀζήμιον. Impunè aliquem ſinere vel dimittere. Iſocr.
ἀτιμώρητον. [idem eſt] vt.

Demoſthenes, τοῦτον ἀτιμώρητον ἀφήσετε? *Hunc impune dimittetis?*

Demoſth. οὐκ ἀφετέον ἀτιμώρητον, εἰλημμένον ἐπ' αὐτοφώρῳ δῶρα ἔχοντα κατὰ τῆς πόλεως. *Qui palam acceptorum contra Remp. munerum conuictus eſt, impunitus non eſt dimittendus.*

ἄδεια. Impunitas, Securitas.

ἀζήμιον / ἀθῷον } εἶναι τοῦτον λέγουσι. Dicunt hunc eſſe indemnem, ſeu innocentem. Dem. *On dit qu'il en eſt innocent.*

ἀνατεί / ἀδεῶς } πράττειν τι. Impunè facere aliquid. Demoſth. *Sans en receuoir chaſtiment.*

πληγὰς λαμβάνειν ὑπό vel παρά τινος. Plagas accipere, Verberari ab aliquo. Demoſth.

πληγὰς ἐμβάλλειν τινί. Plagas inferre vel infligere alicui. Dicunt etiam ἐντείνειν πληγάς pro Cædere, Pulſare, item Alapas impingere,quod & κονδύλους ἐντρίβειν, dicitur, quod & colaphum incutere,vel,Pugnum ingerere, ſignificat.

ADIVNCTA.

¶ *Pœnam ſtatuere.*

τοῖς ἀδικοῦσι δεσμὸν ἔταξε τὸ ἐπιτίμιον, Demoſth. in eos,qui iniuriam inferunt,carceris pœnam ſanxit,vel eos vinculis mandari iuſſit.

τῶν προστιμημάτων τῶν ἐπὶ τοῖς ἀδικήμασιν ἐκ τῶν νόμων ὡρισμένων, idem. pœnis quæ vindicandis flagitiis conſtitutæ ſunt.

νόμοι τὰ ἔσχατα ἐπιτίμια προστεθείκασιν, idem.vltima ſupplicia impoſuerunt.

τοῖς αὐτοῖς ἐνέχεσθαι κελεύουσι τοὺς ὑποδεχομένους, idem. iiſdem pœnis affici,coerceri.

¶ *Pœna afficere.*

δίκας ἀπαιτεῖν, Chryſ.6.de Sacerd. πολλῷ πλείονα τῶν ἀρχομένων ἀπαιτεῖ τὸν ἄρχοντα τιμωρίαν,multo grauiorem ab eo,qui præeſt, quàm ab iis,quibus præeſt, pœnam expetit.

τοῖς βίᾳ κρατηθεῖσι τὴν αὐτὴν ἀπονέμειν τιμωρίαν ἣν ἐπὶ τοῖς Σιδωνίοις ἐπιστησε, Diod. his,qui vi, atque armis capti eſſent,idem ſupplicium inferre,quod in Sidonios adhibuiſſet.

κολάζειν τοῖς ἐσχάτοις, Plato in Politic. θανάτῳ, Diod. ταῖς μεγίσταις τιμωρίαις, Iſocr. extremo ſupplício afficere,vel mactare.

¶ *Pœna affici.*

δίκην τίνειν, Plat.in Phæd.pœnas pendere.

δίκας ὑπέχειν καὶ τίνειν τὰς μεγίστας τιμωρίας, ibidem.pœnas dare,atque extrema ſupplicia luere.

ἱκανὴν ἤδη τὴν δίκην ἐκτέτικα, Lucian. ſatis iam pœnarum perſolui.

τῷ δαιμονίῳ τὰς προσηκούσας δίκας ἐξέτισε, Diod. παλαιῶν ἁμαρτημάτων δίκας ἐκτιννύσι,veterum peccatorum ſupplicia expendere,vt Virg. loquitur.

δίκην, vel, τιμωρίας δοῦναι, Philo. ὁ κακοδαίμων εὐνοίας περιττῆς ἔδωκε τὰς ἀνιωτάτας τιμωρίας, eximiæ beneuolentiæ grauiſſimas pœnas dedit.

δοῦναι παρὰ πόδας δίκην, Chryſoſt.quamprimùm pœnas luere.

δίκην ὑπέχειν. Dion. τίνα με βούλεσθε δίκην ὑποσχεῖν ἀντὶ τούτου ἁμαρτήματος; Ecqua pœna me hoc peccatum luere vultis? τιμωρίαν ὑπέχειν, Luc. Supplicium ſubire.

¶ *Pœna*

¶ *Pœna capitis.*

αὐθωρὸν ἀπεκεφάλισεν, Suid. ſtatim ei caput abſcidit.

τὴν κεφαλὴν ἀπέτεμεν, Herodian. ἢ ἀπεκεφάλιστο, ἀπετέτμητο αὐ τὴν κεφαλήν, Luc. caput ei amputatum fuiſſet. ξίφει τὴν κεφαλὴν τμηθείς, vel, ἀποτμηθείς. ὅστις δὲ μὴ ταῦτα ποιήσῃ αὐτίκα τῆς κεφαλῆς στερηθήσεσθαι ἐκήρυξε, Xenop. qui ſecus fecerit ei protinus caput ademptum iri per præconem denunciauit.

τὴν κεφαλὴν ἀφαιρεῖν, Suid. τὴν κεφαλὴν ἀφελόντες αὐτοῦ Φαρναβάζῳ κομίζουσι. truncatum ipſius caput ad Pharnabaſum ferunt.

Et apud Herodian, συλλαβόντες, καὶ τῆς κεφαλῆς ἀφελόντες, &c. correptum & obtruncatum, &c.

¶ *Pœna digna.*

δίκην ὑπέχειν κατ' ἀξίαν τῶν τετολμημένων, Lucian. dignam pro talibus auſis (vt loquitur Vergil.) pœnam ſuſtinere.

τὴν κατ' ἀξίαν τῶν πεπραγμένων δίκην λαβεῖν, Demoſth. dignum ſceleribus ſupplicium ſumere.

τίνα ἂν πρὸς ἀξίαν τῶν πεπραγμένων ὑπόσχοι δίκην; Iſocr. ecquo ſatis graui ſupplicio, quæ admiſit, luere queat? τίνα ἂν ἀξίαν ὧν δέδρακε δίκην ὑπόσχοι; Luc.

δίκην ἀξίαν κομίσασθαι ὑπὲρ ὧν εἰς ἡμᾶς εἰργάσατο, Syneſ. i. δίκην ἀξίαν λαβεῖν ὑπὲρ ὧν εἰς ἡμᾶς ἔδρασεν.

¶ *Pœnam effugere.*

τούτων δίκην μηδενὸς δεδωκέναι, Demoſth. nullius horum pœnam vllam pependiſſe.

τὸ δίκην ὧν ἐμὲ ὕβρικε, δοῦναι διακρούσασθαι, idem. illatæ mihi contumeliæ pœnam effugere.

τὸ δίκην δοῦναι διαδύς, idem. id eſt, διαφυγών, διακρουσάμενος, pœnas elapſus.

εἰ τούτους ἀζημίους ἐάσαιμι, Phal. ſi hos impune abire ſiuero.

ὧν τὸ ἁμάρτημα οὐκ ἀνεκδίκητον ἀφῆκεν ὁ Θεός. Baſil. quorum peccatum impunitum, inultúmque minime reliquit Deus.

οὐ τίνων ποινὰς ὧν ἡμᾶς ἐπεχείρησεν ἀδικεῖν. Xenoph. iniuriæ, quàm nobis inferre molitus eſt, nullas pœnas pendens.

τούτῳ τὸ δίκην δοῦναι διακρούσεται, Demoſt. con. Mid. hac re id aſſequetur, ne pœnas det, vel, ita pœnam effugiet.

¶ Vlciſci, ἀμύνεσθαι,

τοὺς πολεμίους. Vlciſci hoſtes. Demoſth. & Iſocrat.

Iſocr. οὐδὲ πώποτε τὴν μακρολογίαν ταύτην ἠμυνάμεθα

[illegible]
τῆς. *Nec vnquam ipsorum ſermonis tenuitatem vltus ſum.*
τινὰ ὑπέρ τινος: vt
Iſocr. ad Philipp. ἡμεῖς δ᾽ οὐδ᾽ ὑπὲρ ὧν κακῶς ἐπάθομεν, ἀμύνασθαι τολμῶμεν αὐτούς, *id eſt, Vlciſci eos non audemus ob iniurias quibus nos affecerunt.*
τινὰ τοῦ γέλωτος. Vlciſci aliquem ob riſum. Lucian.

τιμωρεῖν vel τιμωρεῖσθαι.

τιμωρέω ἢ τιμωροῦμαι
σοι. Vlciſcor iniuriam tibi factam. Xenoph.
τοῦ ἀδελφοῦ φόνον. Vlciſcor mortem fratris. Plato.
ὑπέρ σου idem quod τιμωροῦ σοι. Plato.
τοὺς ἐχθρούς. Hoſtes vlciſci. Iſoc.
τοὺς ἐχθροὺς ἐτιμωρήσατο,

ἐκδικεῖν.

ἐκδικῶ
σε. Vlciſcor te & ſcelus.
ἐμαυτόν. Vlciſcor mihi illatam iniuriam.

Chryſoſt. ὅταν ἐκδικῶμεν ἑαυτούς, ὁ θεὸς ἡμῖν οὐκ ἀμύνει. *Cùm iniuriam nobis illatam vlciſcimur, Deus nos non defendit.*

¶ Munire, præſidio defendere, Cingere.

κρατύνειν, κρατύνεσθαι.

κρατύνειν vel κρατύνεσθαι
πόλιν, τείχη. Ciuitatem, mœnia munire. Thucyd.
πόλιν φρουραῖς. Ciuitatem præſidiis munire.
Plutarch. τὰς μὲν πόλεις ἐκράτυνε φρουραῖς. *Ciuitatem muniebat præſidiis.*
ναῦν. Nauem contra ventorum furores munire. Lucian.

2. τειχίζειν.

τειχίζειν τὰ στρατόπεδα καὶ τὰ φρούρια ἐπιμελέστερον. Caſtra caſtelláque diligentius communite. Herodian.

Demoſth. καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν. *Et Magneſiam ne muniret, impediuerunt.*

τειχίζειν τὴν χώραν τείχεσι. [cum datiuo inſtrumentali] Munire regionem muris & vallis.

Aeſchines in Cteſiph. χαλκοῖς τείχεσι καὶ ἀδαμαντίνοις τὴν χώραν ἡμῶν τειχίσει. *Aheneis & adamantinis muris regionem noſtram communiet.*

ADIVNCTA.

¶ *Munitus locus.*

ἔτι πόλεις πολλαὶ ϗ χαλεπαὶ λαβεῖν, Demoſth. atque vrbes multæ captúque difficiles, GALL. *difficiles à prendre.*

χωρίον ἰσχυρὸν, Iſocr. locus munitus.

ἐρυμνὸν, Phil. καρτερὸν, Greg.

ταῖς ἔκτοσθεν περιβολαῖς ἐς τὸ ἀσφαλέστατον περιπεφραγμένον, Luc. externo ambitu quàm tutiſſimè ſeptum.

ἀβιαστάτη πόλις, Philo vrbs firmiſſimo muro cincta.

τὴν πόλιν τάφροις τριπλοῖς μεγάλοις, ϗ τειχῶν ὑψηλῶν κατασκευαῖς περιειλήφασι, Diod. ciuitatem triplici vallo magno, ac ſublimibus muris cinxerant.

φρούριον δυσπρόσιτον ϗ δυσάλωτον, acceſſu captúque arduum ac difficile. δυσπρόσοδον, Thucyd.

πόλις τάφρῳ βαθεῖ ϗ τοῖς ἐκ τοῦ ποταμοῦ τενάγεσι ὠχυρωμένη, Gregor. vrbs tum alta foſſa, tum fluminis eluuie munita.

πόλις ὀχυρότητι διαφέρουσα, Diodorus, vrbs mirè firma ac munita.

ἀνάλωτον ἐκ βίας ὑπάρχειν, idem. nulla vi expugnari poſſe.

περιεχόμενον φάραγξι βαθείαις, ϗ κρημνοῖς ἀπροσίτοις, idem. id eſt, περιλαμβανόμενον.

πρὸς τὴν ἐρυμνότητα θαυμαστὸν, idem. mirè firmum ac munitum.

τὰ μὲν ὑπὸ τῆς φύσεως, τὰ δὲ ὑπὸ τῆς ἐκ τῶν χειρῶν κατασκευῆς θαυμαστῶς ὠχύρωτο, idem. partim natura, partim manibus atque arte eximiè firmum erat.

ὃ συνελθοῦσα τέχνη ϗ φύσις εἰργάσαντο, idem. ad quod efficiendum natura cum arte conuenerat.

πόλις εὐερκὴς, ϗ μέγαν ἔχουσα περίβολον, Gregorius, magno vallo cincta.

ἣν διώρυξι ὠχυρωκὼς ἦν, Gemiſt. quam foſſa firmauerat.

χάρακι ϗ τάφρῳ τὴν στρατοπεδείαν ἀσφαλίσασθαι, Diod. vallo ac foſſa caſtra munire.

τείχει μεγίστῳ, ϗ ὀχυρωτάτῳ περιβεβλημένην, Herodian. id eſt, περιειλημμένην.

τεῖχος αἱρέσιμον Xenoph. GALL. *Vne muraille prenable.*

περιβάλλεσθαι τὸ τεῖχος, vel τὰ ἐρύματα τῇ πόλει, operibus, munitionibúſque vrbem ſepire.

τεῖχος περιβάλλεσθαι τὴν πόλιν, Herod.

¶ Compoſitum περιτειχίζειν eodem modo vſurpatur.

In paſſiuo.

Iſocr. ἰδεῖν ταύτην τὴν χώραν ἐν καλλίστῳ τοῦ κόσμου μέρει κειμένην καὶ ἀθανάτῳ τείχει τῷ Νείλῳ τετειχισμένην. *Videbat hanc regionem Aegypti in optima mundi parte ſitam, Nilo velut muro immortali & inuicto munitam.*

3. κυκλοῦν, Circumdare, Cingere, Circumueniri.

Plutarch. ἀθρόοι πέριξ κυκλοῦντες. *Congregati vndique circundantes.*

Greg. στρατοπέδῳ κυκλώσαντες τὴν Ἱερουσαλήμ. *Exercitu circumdantes & cingentes Hieroſolymam.*

Vſurpatur & κυκλοῦσθαι *pro* κυκλοῦν.

Xenoph. ἀλλ' οὗτοι εἰδεῖεν, εἰ κυκλούμενοι κυκλωθῶσιν. *At videant illi, ne circumuenientes circumueniantur.*

Idem, ἐκυκλοῦντο αὐτοὺς εἰς μέσον. *In medium illos concludebant.*

Paſſiuè.

Thucyd. δεδιὼς μὴ κυκλωθῇ. *Veritus ne circumueniretur, & ſimile exemplum præcedit.*

Ponitur & κυκλοῦσθαι ac κύκλῳ περιέχεσθαι ſynonymως apud Plutarch. Pro Circumueniri, Cingi.

περιβάλλειν.

περιβάλλειν {
τεῖχος τῇ πόλει. Circumdare vrbi mœnia, vel mutata conſtructione, Vrbem mœnibus cingere. Ariſtot.
τάφρον τῇ πόλει, & περιβάλλεσθαι ἐρύματι. Vrbem foſſà cingere, & ſepto circumdare. Xenoph.

In paſſiuo.

Lucian. περιβεβλημένος νεφέλην. *Cinctus nube.*

Iſocr. τίσι δὲ φθονεῖν εἰκός ἐστιν; οὐ τοῖς μείζους δυνάμεις ἢ κατ' ἀνθρώπους περιβεβλημένοις; *Quibus inuidere fas eſt? nonne ijs, qui ſunt maiori potentia & imperiis muniti, quàm homines decet?*

4. φρουρεῖν.

φρουρεῖν {
τὰς ἀκροπόλεις. Arces præſidio tutari. Iſocr.
τὰς εἰσβολὰς τῆς Ἰταλίας. Aditus Italiæ obſidere, & prεſidio ſuo tenere. Herodian. lib. 3.
τοὺς ναούς. Templa præſidio tueri. idem.

* φρουρά }
φρούρημα } Præſidium. φρουρὸς, præſidiarius.
φρούριον }

In paſſiuo.

Iſocr. ἐξεκόσμησα αὐτοῖς τὰ χρήματα κινδυνεύσας περὶ τοῦ σώματος, ἐφρουρεῖτο δὲ ἡ χώρα. *Exornaui ipſis bona cum vitæ periculo: muniebatur enim ciuitas præſidijs.*

Herodian. φρουρουμένη καὶ κεκλεισμένη γενναίως ἡ πόλις. *Præſidiis probè munita & clauſa ciuitas.*

φρουρά:

φρουρὰν vel φρουράς
εἰς τὰς πόλεις καθιστάναι. Præſidia in ciuitates collocare. Iſocrates.
ἐν τῇ ἀκροπόλει καθιστάναι, Arci præſidium imponere. Demoſthenes.
κελεύειν ἐκ τῆς πόλεως ἐξιέναι. Iubere præſidia ex vrbe educi. diſcedere. Iſocr.
ἐκβάλλειν. Præſidium eiicere. Demoſth.
ὑποδέχεσθαι. Recipere præſidia, Demoſth.
εἰσάγειν εἰς τὰ πολίσματα Præſidia collocare in oppidis. Demoſthenes.
Pro quo Iſocrates dicit, ἐγκαταστήσουσι φρουρὰς ταῖς πόλεσι.

φρουρᾷ κατέχειν πόλιν τινά. Præſidio tenere vrbem, aliquam. Demoſthen.

ἐν φρουρᾷ εἶναι. Eſſe in præſidio. idem.

ἐχυρὸς τόπος. Locus probè munitus.

ἐχυρὸν
ὀχυρὸν } χωρίον Locus natura munitus. Xenoph. & Thucyd.

πιστεύειν ἑαυτὸν ὀχυρῷ. Credere ſeu committere ſe loco munito. Plutarch.

¶ Minari, Minitari, Comminitari.

ἀπειλεῖν.

ἀπειλεῖν
Minari (ſine adiectione) vt,
Demoſth. ἀπειλεῖ καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει
τινὶ (cum datiuo perſonæ) Minari alicui. Xenoph.
τινὶ θάνατον. Mortem alicui minitari. Demoſth.
μεγάλας ζημίας κατὰ τοῦ μὴ ὑπακούοντος. Ingentes mulctas minitari ei qui non paruerit. Plutarch.

ἀπειλή. Minæ, Comminatio.

ADIVNCTA.

¶ *Minari*.

ἀπειλεῖν, Minas intendere, vel iactare, minis inſequi. Herodot.

πολλὰ ἀπειλήσας εἰ μὴ ταῦτα ποιήσοιμι, multa minatus, niſi hæc feciſſem.

οὐκ ἐψεύσαντο τὰς ἀπειλὰς τὰς ἐπηπείλησαν αὐτοῖς, idem. quod minati fuerunt, præſtiterunt. ἀπειλεῖν etiam infinitiuo perſæpe iungitur. Plat. in ep. καὶ μοί πως ἠπείλησεν, εἴ πῃ λήψοιτο, διαφθερεῖν, mortē mihi ſicubi me reperirent, minabantur.

ἠπείλει τὰ μέγιστα ἐργάσασθαι, Suid. me peſſimè mulctaturum iactabat.

γυμνὸν τὸ ξίφος ἐπανατείναντες, ἀποσφάττειν ὅλως ἠπείλουν, Æneas. diſtrictos gladios intentantes, haud dubie necem ei allaturos ſe eſſe minabantur.

μεγάλας ἀπειλὰς ἐπανατείνασθαι τοῖς ὑπερόπταις, Philo. Contemptoribus graues minas intentare.

πολλὰ ὑπερηφάνως, καὶ ἀπειλητικῶς διαλεχθείς, Herodot. multa arroganter ac minaciter prolocutus.

ἔπεμπον εἰς τὰς ἄλλας νήσους ἀπειλητηρίους λόγους, idem. minaces ſermones ad alias inſulas mittebant.

Nonnunquam τὸ ἐπαγγέλλεσθαι, ἀντὶ τοῦ ἀπειλεῖν vſurpatur, vt apud Baſil. ὅταν ἀκούσῃς τινὸς ἀπειλοῦντος, καὶ ἐπαγγελλομένου σοι παντοδαπὰς ἐπάξειν κακώσεις, cum quempiam audieris multa tibi minitantem, ſeque non nullo malo te affecturum pollicentem. Quod quidem loquendi genus apud noſtrates vſitatiſſimum ac frequentiſſimum eſt. Sic autem interdum Græci ἐπαγγέλλεσθαι accipiunt, quemadmodum contra Latini quandoque minari, pro polliceri, atque iactare. Quale eſt illud Horatii, Multa & præclara minantem.

ἐπανατάσεις ἀντὶ τῆς ἀπειλῆς, Phil. διὰ τὰς σὰς ἐπανατάσεις, ob tuas comminationes.

προειπεῖν etiam ſæpe idem apud Græcos ſignificat, quod ἀπειλεῖν. Plat. 3. leg.

θάνατον αὐτῷ προειπὼν, μὴ πράξαντι ταῦτα, id eſt, θάνατον αὐτῷ ἀπειλήσας, εἰ μὴ τοῦτο ποιήσειεν, vt ſupra, mortem ei denuncians, niſi hoc faceret.

φείδεσθαι ἀπειλῶν, Luc. minis parcere, vel abſtinere.

¶ Metuere, Vereri, Timere.

δεδιέναι, δεδοικέναι.

μὴ λίαν ἄτοπος δόξω. Metuo ne nimis abſurdus videar. Iſocr.

μὴ πόρρω λίαν τῆς ὑποθέσεως ἀποπλανῶ. Metuo ne longius ab argumento aberrem. Iſocr.

μὴ οὐκ ἔχω τοσαύτην σοφίαν. Vereor vt habeam tantam ſapientiam. Xenoph.

ὅπως μὴ πάντα ὅσα οὐ βουλόμεθα ποιεῖν ἡμῖν ἀνάγκη γενήσεται. Metuo ne in eam neceſſitatem veniamus, vt omnia, quæ nolimus, facere cogamur.

δέδια vel δέδοικα

ὡς οὐχ ἡδέως καθευδήσητε. Vereor vt ſuauiter dormiatis. Xenoph.

περὶ τῆς βασάνου, ὅπως μὴ ὑπὸ τοῦ Μενοξένου συλληφθείη. Metuebam à tortura, ne à Menoxeno comprehenderetur. Iſocr.

περὶ κύπρου. De Cypro [tanquam de perſona] timeo, vel, Metuo Cypro. *Habent enim δέδια & δέδοικα præſentis & præteriti ſignificationem, Iſocr. Xenoph.* δεδιὼς περί τε υἱοῦ καὶ τοῦ Κύρου. *De Cyro & filia metuens.*

ὑπὲρ λῃστῶν. Timeo à prædonibus. Chryſoſt.

ὑπὲρ τῆς πόλεως. Reipublicæ metuo. Iſoc.

τινά. Metuo aliquem.

Demoſt. θαυμάζω, καὶ δέδοικα τοῦτον, ὅστις ποτ᾽ ἐστί.

Plutarch. ὁ δὲ Θεὸν δεδιὼς, πάντα δέδιε. *Qui Deum timet, is omnia timet.*

τὸν φθόνον, τὸ μέλλον. Metuere inuidiam, impendentia mala formidare. Iſocr.

2. φοβοῦμαι.

φοβοῦμαι

τοῦτον. Metuo hunc.

Ariſtot. in Rhetor. οὐδεὶς, ὃν φοβεῖται, φιλεῖ, *Nemo quem metuit diligit.*

Democr. ὃν πάντες φοβοῦνται, πάντας φοβεῖται. *Quem omnes metuunt, is omnes metuit.*

τοὺς Θεούς. Deos metuo. Xen.

κίνδυνον καὶ θάλασσαν. Metuo periculum & mare. Iſoc.

Plutarch. οὐ φοβεῖται θάλασσαν, ὁ μὴ πλέων. *Non metuit mare, qui non nauigat.*

φόβον. Valde metuo.

Marci cap. 4. ἐφοβήθησαν φόβον μέγαν. *Timuerunt timore magno.*

περί τινος. De aliqua re timere.

Xenoph. φοβοῦμαι περὶ τῆς ἐμαυτοῦ δουλείας. *Timeo de mea ſeruitute.*

Iſocr. φοβούμενοι περὶ τῶν μελλόντων. *Metuens à rebus futuris.*

ὑπὲρ σοῦ. Tibi timeo, vel, Timeo tua cauſa.

Demoſth. φοβητέον ὑπὲρ τούτων οἳ πολὺ τῶν δεινῶν εἰσὶν ἐγγυτέρω. *Metuendum eſt illis, vt qui cladibus multò ſunt propiores.*

Cicero, De republica valde timeo, id eſt, ὑπὲρ τῆς πολιτείας *vel,* πόλεως λίαν φοβοῦμαι.

ὅπως μὴ ἐπ᾽ αὐτόν με τρέψηται. Metuo ne in me ipſum vertatur. Xenoph.

μὴ λίαν ἐγγὺς ᾖ τοῦτο. Metuo ne nimis propè hoc ſit. Demoſthenes.

τῇ τυραννίδι ἐναντιοῦσθαι, (cum infinitiuo) Ne, tyrannidi obſtem, metu percellor. Plutarch.

τὸ μὴ ἐπενεγκεῖν ψευδῆ τιμωρίαν. Timeo ne pœnas irrogem immeritas. Plato.

δεδιῶς ἔχειν πρός τινα. Timere aliquem: vt,

Iſocr. πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ δεδιῶς ἔχει, *Adeo iam dudum illum formidant & metuunt.* Huic opponitur θαρσαλέως ἔχειν πρός τι. Non metuere aliquid.

Plato in Apolog. θαρσαλέως ἔχειν πρὸς θάνατον. *Mortem non metuere.*

2. ὀῤῥωδεῖν.

ὀῤῥωδεῖν. Metuere, Cohorreſcere (abſolutè) vt,

Iſoc. μηδεὶς ὑμῶν ὀῤῥωδείτω κατὰ τὸ δίκαιον ποιούμενος τοὺς κινδύνους. *Nemo veſtrum cohorreſcat, ſi pericula propter iuſtitiam adierit.*

δύναμίν τινος. Alicuius potentiam reformidare. Demoſt.

χρὴ μήτε ὀῤῥωδεῖν ὑμᾶς τὴν ἐκείνου δύναμιν, μήτ᾽ ἀγεννῶς ἀντιταχθῆναι πρὸς αὐτόν. *Decet vos neque illius potentiam metuere, neque turpiter contra illum pugnare.*

δέος ἐστὶ μὴ
κίνδυνός ἐστι, μὴ
φόβος, ὡς οὐ

Metuendum eſt: Timendum eſt, ne: Periculum eſt ne, &c. *Il eſt à craindre que, &c. Il y a du danger que, &c.*

Demoſth ἔστι τοῦτο μέγιστον δέος, μὴ πανοῦργος ὤν, τρέψηται, καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων. *Hoc in primis metuendum eſt, cum callidus ſit (Philippus) ne de ſumma rerum interuertat aliquid, & ad ſe transferat.*

Iſocr. κίνδυνός ἐστι, μὴ τὰ βέλτιστα συμβουλεύων, μισόδημος εἶναι δόξω. *Metuendum eſt, ne dum optima conſulam, plebi infenſus eſſe videar.*

Sed κίνδυνός ἐστι In hac ſignificatione etiam infinitiuo iungitur: vt,

Nazianzen. ὅ σοι παθεῖν κίνδυνος. *Quod ne tibi accidat, periculum ſeu timendum eſt. Hic nota, in nomine* κίνδυνος, *ſubſtantiuum verbum* ἐστὶ *ſubaudiendum eſſe.*

Xenoph κίνδυνος τοῦτο συμβῆναι. *Periculum eſt, Timendum eſt, ne hoc accidat.*

Demoſth. φόβος, ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς κακοῦ. *Metuendum eſt, vt hoc ſine magno malo conſiſtere poſſit.*

Vereor, ne, ὀκνέω, μή.

Demoſth. ὀκνῶ, μὴ δεῖ σε τὰ προσήκοντα λέγειν, αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω συναρμόσθαι λόγους. *Vereor ne dum te digna dico, orationem me indignam inſtituere videar.*

Vereor dicere: Ne dicam, ὀκνῶ γὰρ εἰπεῖν, ὀκνῶ λέγειν, ὀκνῶ ὀνομάζειν.

Iſocr. ἀφρονέστεροί εἰσι τῶν μαθητῶν, ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν. *Stolidiores ſunt diſcipulis, ne dicam ſeruis.*

Lucian. οὐκ ὀκνήσω καὶ τοῦτο εἰπεῖν. *Non verebor & hoc dicere.*

Demoſth. τοιαῦτα ἐξειργάζετο, οἷα ἐγὼ ὀκνῶ ὀνομάσαι πρὸς ὑμᾶς. *Talia commiſit quæ ego non audeo nominare apud vos.*

Iſocrates, περὶ ὧν ὀκνοῦσιν οἱ πρεσβύτεροι λέγειν, περὶ τούτων ἐπιχειρῶ συμβουλεύειν νεώτερος. *De quibus ſeniores dicere verentur, de iis ego iuuenis conſulturus accedo.*

οὐκ ὀκνητέον. Non timendum, Non ceſſandum eſt. Plat.

ἵνα μὴ ἄλλο εἴπω. Ne quid aliud dicam, Demoſth.

Idem ἵνα μὴ πάντας λέγω. *Ne omnes dicam.*

Idem, ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω. *Ne ſingula commemorem.*

ADIVNCTA.

¶ *Timere.*

φοβεῖσθαι. Plat. in Sympoſ. πάνυ ἐφοβούμην μὴ ἀπορήσουσι λόγων, magnopere timebam, ne eis oratio deeſſet.

πάνυ ἐοικότας πεφοβημένοις ἀνθρώποις, Xenoph. metû perturbatis hominibus perquam ſimiles.

φοβεῖσθαι φόβον, Greg. οὐ τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον μὴ, &c. non ego illud metuo, ne, &c.

ὀρθαὶ ἵστανταί μου αἱ τρίχες ὑπὸ φόβου, καὶ ἡ καρδία πηδᾷ, Plato in Symp. præ timore mihi crines horreſcunt, ac cor ſubſilit.

ἐν ποίῳ τινὶ φόβῳ οἴει γενέσθαι αὐτόν? Plat. Pol 8. quo timoris cruciatu eum affectum cenſes?

εἰ μή τις εἶχέ με φόβος θαύματος τοσοῦτον κατακρύψαι, Greg. niſi mihi metus quidam inceſſiſſet.

φόβον ἔχειν, id eſt, φοβεῖσθαι. Chryſoſt. μέγαν εἶχον φόβον τοῦ πράγματος, loquitur de iuramento. φόβῳ ἔχεσθαι, in timore verſari, metu teneri.

τοῦτο τῷ φόβῳ νύκτωρ καὶ μεθ' ἡμέραν σύνειμι, Greg. hic me timor dies noctéſque exagitat.

φόβῳ ζῆν διηνεκῶς, Chryſoſt. in perpetuo timore verſari.

εἰς μεγίστους φόβους ἐμπίπτειν, Diod. in grauiſſimos timores incidere.

ἐν φόβοις ἦν, καὶ δάκρυσιν, idem, in metu ac lacrymis verſabatur.

ἐν φόβῳ ἦν ὁ Φίλιππος, καὶ πολλῇ ἀγωνίᾳ, idem. in timore, ac magna animi anxietate erat.

ἦν τότε μέγας τῶν μελλόντων τοῖς Ἕλλησιν ἀκούσασι φόβος, Herodot. Græcis vel nomen ſolum Medorum audire formidoloſum erat.

¶ *Timiditas.*

φόβου γέμων διὰ παντὸς τοῦ βίου, Plat. 8. Polit. πλήρης, ἀνάπλεως.

οὐδὲ πάνυ εὐθαρσὴς ὤν, Lucian. neque animo admodum fidenti ac generoſo.

δειλότεροι τῶν λαγωῶν idem. leporibus timidiores.

τοῦ δέοντος δειλότερος, Greg. meticuloſior, quàm par ſit.

ἄνανδρος καὶ δειλός, Suid. ignauus, & timidus.

καταρρωδεῖν τοὺς κινδύνους, Diod. ad pericula trepidare.

δειλίᾳ διενηνοχέναι ἅπαντας ἀνθρώπους, Suid. timiditate mortales omnes ſuperaſſe. Ac notanda eſt hæc phraſis. Rariſſimus enim in hac ſignificatione huius verbi vſus eſt cum accuſatiuo.

¶ *Timor grauis & tremor.*

ὑπὸ τῶν ἐφεστώτων δεινῶν διαταράττομαι μὲν τὴν γνώμην, καὶ ὑπότρομός εἰμι, Lucian. præ vrgentibus periculis animo perturbor, ac tremore afficior.

ὑπερεκπλήττεσθαι, Demoſth. τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχον τὸν Φίλιππον, id eſt, σφόδρα φοβουμένους.

ὑποπτήσσειν, vel καταπτήσσειν. Phil. θάνατον καταπτήσσειν, mortem reformidare. Et cum accuſat. λῃστῶν ἐφόδους ἀεὶ καταπτήσσειν, idem. latronum impetum exhorreſcere.

κατέπληχε τὸ πάθος δεδοικότα καὶ τρέμοντα τὴν τοῦ χείρονος [illegible]. Chryſoſt.

¶ Terrere aliquem, Perterrefacere aliquem, Incutere alicui terrorem.

φοβεῖν
ἐκφοβεῖν
δεδίττεσθαι
καταπλήττειν } τινά. Terrere, Perterrefacere aliquem. *Eſpouuanter.*

Demoſth. οὐ φοβεῖ με Φίλιππος, ταῦτα φοβεῖ με. *Non terret me Philippus, iſta terrent me.*

Idem, ταῦτα λέγω οὐχ ἵνα ὑμᾶς δεδίττωμαι, ἀλλ' ἵνα μή. *Hæc dico, non vt perterrefaciam vos, ſed.*

Iſoc. ἐκφοβεῖν ὑμᾶς ἐπεχείρησαν. *Terrere vos conati ſunt.*

δέος ἐνεργάζεσθαι
φόβον ἐναπεργάζεσθαι } τινι. Iucutere alicui terrorem. *Faire peur à quelcun, Luy donner l'eſpouuante.*

Demoſth. Funebr. καὶ διὰ τῶν ὀλίγων [illegible] δέος μὲν ἐνεργάζοιντο τοῖς

πολλοῖς

ὀλίγαι. *Imperia, quæ paucorum autoritate reguntur, terrorem illa quidem incutiunt ciuibus.*

Iſocr. in Areop. τοσοῦτον ἐκεῖνοι φόβον τοῖς πονηροῖς ἐνεποιήσαντο. *Tantum illi metum improbis incuſſerunt.*

καθιστάναι τινὰ εἰς φόβον. Conücere aliquem in metum. Demoſt.

εἰσέρχεταί μοι δέος. Subit vel inceſſit me timor. Plato.

Ἔλαβέ με {
δέος. Cepit me timor. Plato.
πόθος. Cepit me deſiderium. Herodo. *L'enuie m'a prins. Il m'eſt venu en teſte.*

φρίττειν.

φρίττω {
Horreſco, Cohorreſco, Perhorreſco. Plutarch.
ἐννοῶν τὸν πλοῦτον (cum participio) Cohorreſco cum diuitias animo voluto. Gregor.
ποιῆσαι τοῦτο. (cum infinitiuo) Cohorreſco hoc facere. Demoſt.
καὶ γλῶσσαν, καὶ νοῦν, καὶ διάνοιαν. (cum accuſatiuo) Gregor.
ταῖς θριξὶ vel τὰς τρίχας }
τῇ χαίτῃ vel τὴν χαίτην } Germanicè, *Die haar ſtehen mir zu berge.*

φοβερός. Formidabilis, Terribilis.

Iſocr. τοῖς κακοῖς ἡ τοῦ βίου τελευτὴ φοβερά ἐστι. *Malis vitæ finis ſeu mors terribilis eſt.*

Demoſth. οὐδὲν φυλαττομένοις ὑμῖν ἐστι φοβερόν. *Nihil, ſi cauere velitis, vobis formidabile eſt.*

In paſſiuo.

ταράττεσθαι
διαταράττεσθαι
ἐκταράττεσθαι
ἐκπλήττεσθαι
καταπλήττεσθαι } Conſternari, Stupefieri, Perterrefieri, Timore percelli. Demoſt. Iſocr. *Auoir grand peur, Eſtre tout effrayé de crainte, Fremir.*

Demoſth. ἐκπεπληγμένοι τῷ πράγματι προσήειμεν τούτῳ. *Territi negotio acceſſimus hunc.*

❡ Mutuare, Ad vſuram dare.

δανείζειν.

δανείζω {
τινί. Alicui mutuare, vel etiam fœnori dare.
Plutarch. τοῖς δεομένοις οὐδεὶς δανείζει. *Indigentibus nemo pecuniam fœnori dat.*
τινὶ χρήματα, ἀργύριον οὐκ ὀλίγον, ἑκατὸν μνᾶς, &c. Mutuare alicui pecuniam, non parum argenti, centum minas. Demoſt.

δανείζειν τινὶ ἔλαιον ἐπὶ τόκῳ. Ariſtoteli eſt, oleum alicui fœnori dare.

¶ ἀργύριον δεδανεισμένον. Pecunia mutuo data. Demoſth.

χρῆσαι.

χρῆσαι

ἀργύριον. Pecuniam mutuo dare, mutuare.

Demoſt. προσδεηθεὶς ἀργυρίου, προσελθὼν τῷ πατρὶ τῷ ἐμῷ, ἐκέλευσεν χρῆσαι χιλίας. *Cum indigeret pecunia, acceſſit ad patrem meum, & iuſſit mutuare mille, &c.*

τινὶ ἀργύριον. Mutuare alicui pecuniam Demoſt.

χρῆσαι etiam ſignificat { Commodare, Commodatò dare. *Preſter.*

κέχρηκε. Commodauit. Plutarch.

κεχρήκει. Commodauerat. Appian loquens de duabus legionibus, quas Cæſari Pompeius commodauerat.

Gregor. verò dixit, χρῆσαι παρ' Αἰγυπτίων σκεύη χρυσᾶ.

χρήσασθαι. Mutuari, Vtendum accipere: vt,

Plutarch. in Antonio, χρησάμενος ναῦς παρ' αὐτοῦ πρὸς πόλεμον *(in medio cor.) Cùm naues ab eo vtendas accepiſſet ad bellum.*

ἀποχρήσασθαι.

Laert. in Teſtamento Lyconis. ἀποδοῦναι ὅσα κατακέχρημαι Ἀθήνησι παρά τινος ἔχων, ἢ ἐκπεπρακώς. *Reddere quæ Athenis à quodam vtenda accepi, ſiue ea adhuc habeam, ſiue vendiderim.*

χρήστης. aliàs ſignificat, Qui commodauit, Qui mutuò dedit. aliàs, Qui commodato, vel qui mutuò accepit.

Luc, cap. 11. φίλε, χρῆσόν μοι τρεῖς ἄρτους. *Amice, da mihi mutuo tres panes. Thema autem huius verbi eſt* χράω.

¶ Mutuari, Mutuo accipere.

δανείζεσθαι.

δανείζεσθαι

Mutuari.

Demoſt. ἀπορούμενοι δανείζονται οὗτοι. *In egeſtate mutuantur iſti.*

χρήματα παρά τινος. Ab aliquo pecuniam mutuari.

Demoſth. ὁ δανεισάμενος ἀργύριον παρὰ τοῦ πατρός μου. *Pecuniam qui mutuatus eſt à patre meo.*

ἀργύριον ἀπὸ τῶν πλουσίων. A diuitibus pecuniam fœnori accipere. Plutarch.

ἐπὶ μεγάλῳ τόκῳ, vel, ἐπὶ μεγάλοις τόκοις. Magno fœnore accipere. Demoſt.

ἑκατὸν τάλαντα παρὰ Λακεδαιμονίων εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατεχόντων. Centum talenta mutuari à Lacedæmoniis,ad obſidendos illos,qui Piræum occuparunt. Demoſth.

ὁ δανειζόμενος. Qui fœneratur, Qui fœnore accipit.

ἐπιδανείζεσθαι.

Demoſth: εὐθὺς ἐπιδανείζεται λάθρα ἡμῶν παρὰ τοῦ Θεοδώρου πεντακισχιλίας πεντακοσίας δραχμάς. *Statim mutuatur clam nobis à Theodoro quinquies mille quingentas drachmas.*

τὸ δάνειον
ἀπαιτεῖν. Mutuum repetere. Demoſt.
ἀποδιδόναι. Mutuum reddere. Idem.
ἀπολαβεῖν. Mutuum recipere Idem.

* Qui mutuò dedit, χρήστης. qui mutuò accepit itidem χρήστης: ſicut & ὁ δανειστὴς exiſtimatur habere vtramque ſignificationem. Galli melius per hæc duo verba diſtinguunt, *Crediteur, celuy qui preſte, Creancier: & Debiteur celuy à qui on a preſté.*

δανειστὴς
δανείζων
Creditor. Demoſt. παρέχειν ὑποθήκας τοῖς δανεισταῖς. Tradere pignora creditoribus.

ὀφειλέτης
ὀφείλων
ὄφλων
Cebitor. *Creancier.*

¶ Oppignorare.

ἀποτιμᾶν
ὑποτιθέναι
τι. Aliquid oppignorare.

Demoſth. χιλίων δραχμῶν προσοφειλομένων, ἀποτιμᾷ μοι τὴν οἰκίαν ὁ Πολύευκτος. *Cùm mille drachmæ deberentur, oppignerauit mihi ædes Polyeuctus.*

Idem, δανείσματα ποιεῖται παρ' ἑκάστου τὰς ἑπτὰ μνᾶς, καὶ ὑποτίθησιν αὐτοῖς τὴν οὐσίαν. *Mutuo ſumit à ſingulis ſeptenas illas minas, & oppignorat ipſis ſuas facultates.*

τὴν οὐσίαν καὶ τὰ ἑαυτοῦ πάντα ὑποθεῖναι. *Domum & ſua omnia oppignorare. Demoſt.*

δοῦναι εἰς ὑποθήκην οἰκίαν. Oppignorare domum.

λαβεῖν εἰς ὑποθήκην οἰκίαν. Pignori accipere domum. Poll.

ἐνεχυράζειν. Pignora capere. Demoſth.

ἀποτιμᾶσθαι
ὑποκεῖσθαι
ὑποτίθεσθαι
Oppignorari, Pignori accipere.

Demoſt. δικαίως ἀποτιμηθῆ. *Iuſtè oppignoratum eſt.*

Idem, ἑπτὰ μνῶν ἑκάστῳ ἡ ἄλλη οὐσία ὑπέκειτο. *Septenis minis in ſingu lis oppignorata erant reliquæ eius opes.*

Idem, ναῦς ὑποκειμένη τινί. *Nauis, quæ alicui oppignorata eſt.*

Idem, τὰ ὑποκείμενα τοῖς δανεισταῖς. *Quæ oppignorata ſunt creditori bus. Demoſt.*

ὑπόκειται ἡ οἰκία τῷ δανειστῇ. *Oppignorata eſt domus fæneratori. In andectis.*

ὑπὲρ τοῦ ἀργυρίου τὴν ναῦν καὶ τοὺς παῖδας κατεγγυᾶν. Pueros & nauem pro credito pignorari. Demoſt.

ἐνέχυρον
ὑποθήκη
παρακαταθήκη
ὑπόβολον
ὁμήρευμα
ἔγγυον
ἀσφάλισμα
ἀπότιμον
ἀποτίμημα } Pignus. *Gagé.*

παραδιδόναι τινὶ ἐνέχυρον. *Tradere alicui pignus. Demoſt.* παρέχειν τοῖς δανεισταῖς ὑποθήκας. *Exhibere pignora creditoribus.* βέβαιον ἐνέχυρον. *Certum, firmum, ſufficiens pignus. Demoſt. Idem.* ἐγνώσθη ὑποθήκην τῷ Χίῳ τὰ ἡμέτερα ἐπιτρέψαι. *Conſenſerunt, vt noſtra bona Chio oppignorarentur.*

A D I V N C T A.

¶ *Pignus.*

οὔτε γὰρ ἐπ' ἐνεχύρῳ ἔδωκε, Demoſth. neque enim pignori dederat, oppignerauerat.

μεθ' οὓς οὔτε ταῦτα ἡμῖν φιλίας ἐνέχυρα, Baſ. cum quibus nec nobis huiuſmodi ſunt amicitiæ pignora.

ἐνεχυριάζειν, pignori ponere, vel, accipere.

¶ Moleſtiam alicui exhibere, Negotium faceſſere.

τινὶ πράγματα. Negotium alicui exhibere.

Iſocr. λαβὼν γὰρ παρ' αὐτοῦ διακοσίας δραχμὰς, ἐμοὶ πράγματα παρέσχε. *Acceptis ab ipſo drachmis ducentis, multum mihi negotij exhibuit.*

τινὶ κακὰ ϗ πράγματα ἀμύθητα. Infinita vel etiam infanda incommoda & moleſtias alicui exhibere. Demoſth.

τινὶ ἀσχολίαν. Moleſtiam & negotium alicui exhibere. Demoſth.

τινὶ κόπον. Laborem alicui exhibere. Dionyſ. Halic.

Plato, μυρίας ἡμῖν ἀσχολίας παρέχει τὸ σῶμα. Corpus exhibet nobis infinitas moleſtias & negotia.

τινὶ ἀσχολίαν γράφειν. Negotium exhibere alicui, vt ſcribere non poſſit. *Vbi nota infinitiuum. Xenoph. in OEconom. & alibi, ἀσχολίαν παρέχει αὐτοῖς, φίλων τε ϗ πόλεων ἐπιμελεῖσθαι. Negotium exhibet illis, quò minus amicis & ciuitatibus vacare poßint.*

τινὶ ἔργον. Moleſtiam alicui exhibere. Plato.

κατασκευάζειν τινὶ ἀσχολίαν, in eadem ſignificatione vſurpat Demoſthenes.

Loco τοῦ πράγματος ponitur & nomen πραγματεία: vt,

Iſocr. ὁ λόγος πολλὴν ἔχει πραγματείαν. Oratio habet plurimum negotij.

Idem. περὶ τὰς μὲν Κυκλάδας νήσους ἐγίνοντο πολλαὶ πραγματεῖαι. Multum ipſis negotij exhibuerunt inſulæ illæ Cyclades.

πράγματα τὰ περὶ τὴν ἡμέραν ἑκάστην προσπίπτοντα, Negotia quæ quotidie occurrunt, vel ſeſe offerunt. Iſocr.

πράγματα ἔχειν. Moleſtias ſuſtinere: vt,

Demoſth. πολλὰ πράγματα ἐσχήκαμεν ταῦτα ἐπανορθοῦντες. Multas moleſtias ſuſtinuimus inter corrigendum, vel interim dum hæc corrigeremus.

2. *βαρύνειν, Moleſtia afficere.*

Xenoph. βαρύνειν τοὺς δικαστάς. Iudices moleſtia afficere.

3. *βαρύνεσθαι.*

Thucyd. ἐβαρύνοντο ϗ χαλεπῶς ἔφερον copulat. lib. 2. Grauiter & moleſtè ferebant.

Xenoph. τοῖς πραττομένοις βαρυνόμενοι (cum datiuo instrumentali) Offenſi his quæ fiunt.

4. λυπεῖν.

τινά. Offendere ſeu moleſtia afficere aliquem. Xen.
τινά τι. Offendere aliquem in aliqua re. Demoſth.
τινὰ ἔν τινι. In aliquo offendere aliquem. Dem.
τινὰ οὐ μικρῶς. Non parum offendere aliquem. Herodian.

¶ Moleſtus ſum, Moleſtiam exhibeo, Vexo.

ἐνοχλῶ

Moleſtus ſum (cum accuſatiuo perſonę) vt,

Demoſth. οὐ γὰρ ἵνα ἐνοχλῶμεν ὑμᾶς, δὶς περὶ τῶν αὐτῶν ἐροῦμεν. *Non vt vobis moleſti ſimus, bis de iiſdem rebus dicimus.*

τὰς πόλεις cum accuſatiuo rei: vt,

Iſoc. ad Philipp. ἠνώχλουν τὰς πόλεις τὰς ἐν Πελοποννήσῳ. *Moleſtiam exhibebant ciuitatibus in Peloponneſo ſeu vexabant ciuitates in Peloponneſo.*

τοῖς ἀκούουσι. (cum datiuo) Auditoribus moleſtus ſum. Iſocr. in Paneg. & Panath. item Demoſth. pro Corona.

ADIVNCTA.

¶ *Moleſtiam exhibere.*

ὄχλον παρέχειν, Plat. in Phædon. ὀκνεῖν δὲ ὄχλον παρέχειν, vereri autem ne moleſtiam afferat.

πολὺν ὄχλον ἐμαυτῷ ἂν παράσχοιμι, Iſoc. plurimum moleſtiæ mihi exhiberem.

ὀχλεῖν. εἴ μοι ἐπὶ πλέον ὀχλήσειας, Lucian. ſi mihi diutiùs moleſtus eſſe pergas. Et ἐνοχλεῖν ἵνα μὴ μακρηγοροῦντες ἐπὶ πλεῖον ἐνοχλεῖν δοκῶμεν, Phil. ne longiorem orationem habentes, graues ac moleſti videamur.

ὀχληρός, grauis, faſtidioſus, importunus, moleſtus. ἴσως ὀχληρὸς ὑμῖν ποιεῖν δοκῶ, Demoſt.

πολλὰ τὰ δυσχερῆ ἀνέχεσθαι, Lucian. multas difficultates moleſtiáſque perferre.

πολλάς μοι δυσκολίας παρέχει, Phil. id eſt, πολλὴν δυσχέρειαν, vel, πολλὰ πράγματα. μυρίας τὰς ἀηδίας ἀνέχεσθαι, Lucian. mille moleſtias ſuſtinere.

In paſſiuo.

ἐνοχλοῦμαι. *Mihi moleſtia exhibetur, item, Interpellor.*

Herodian. lib. 3. συνεχῶς ὑπὸ νόσου ἐνοχλούμενον. *Illum, cui perpetuò à morbo moleſtia exhibebatur.*

Syneſius, οὐκ ἐνοχληθέντες, ἀλλ' ἐνοχλήσαντες. *Non interpellati, ſed interpellantes.*

φορτικὸν
ἐπαχθὲς
ἀηδὲς
χαλεπὸν
λυπηρὸν
ἀργαλέον

ἀνιαρὸν
ἀλγεινὸν
ἀργαλέον
ἀφόρητον
βαρὺ
δύσφορον
δεινὸν
δυσχερὲς
λυπηρὸν
ὀχληρὸν
ἀχθεινὸν
} ἡγεῖσθαί τι Moleſtum, graue & odioſum putare aliquid. Dem. & Iſocr. *Réputer vne choſe faſcheuſe & ennuyeuſe ou grieſue à ſupporter.*

Demoſth ἄνδρες μὲν οὖν ἴσως ἐστὶν ἐπαχθὲς περὶ ἐνίων μεμνῆσθαι. *Moleſtum fortaſſe eſt, nominatim quorundam mentionem facere.*

Demoſthen. χαλεπὸν πατρὶ καὶ μητρὶ παίδων στερηθῆναι, καὶ ἐρήμους εἶναι τῶν οἰκειοτάτων γηροτρόφων. *Graue eſt patri & matri orbari liberis, & coniunctiſsimis priuari ſuæ ſenectutis nutriciis.*

τί γὰρ ἄχθιον ἢ ζῆν ἀεὶ δεδιότα. Quid acerbius eſt, quàm in perpetuo metu viuere? Demoſth.

πάντων ἐστὶ {
ἀνιαρότατον
δυσχερέστατον
ἀηδέστατον
ὀδυνηρότατον
σχετλιώτατον
χαλεπώτατον
} Omnium eſt moleſtiſſimum, odioſiſſimum, acerbiſſimum. Demoſt. *La plus faſcheuſe & plus grieſue du monde.*

ἄλογον
ἄτοπον
} Abſurdum.

Demoſth ἄλογον ἂν εἴη, περὶ προδοσίας αὐτὸν εἰσαγγέλλειν. *Abſurdum eſſet proditionis eum accuſare.*

Idem. πῶς οὐκ ἄλογόν ἐστι ταύτην τὴν τίσιν παραλιπεῖν. *An non abſurdum eſt &c.*

Idem ἀλογώτατον πάντων ἐστὶ, πρὸς χρηματισμὸν φιλοτίμως ἔχειν. *Omnium abſurdiſsimum eſſet, &c.*

Sic πάντων ἀτοπώτατον, *idem Dem.*

ἀτοπώτατόν
ἀλογώτατον
} τι ποιεῖν, παθεῖν, συμβαίνειν Dem.

¶ Ideo, quòd: Eam ob cauſam, quòd: Propterea, quòd, &c.

διὰ τοῦτο
τούτων ἕνεκα } ὅτι vel διότι. *A cauſe que, Pourautant que.*
τούτου ἕνεκα
ἀνθ' ὧν

Iſocr. ἡ ἀρετὴ διὰ τοῦτο μάλιστα εὐδοκιμεῖ, ὅτι κάλλιστον τῶν ἐπιτηδευμάτων ἐστίν. *Ideò virtutem maximè laudamus, quod pulcherrima omnium aliarum doctrinarum ſit.*

Idem, οὐκ ἄξιον διὰ τοῦτο φοβεῖσθαι τοὺς πολεμίους, ὅτι πολλοὶ τυγχάνουσιν ὄντες. *Non ideò hoſtes metuere debemus quod multi ſint.*

Idem. τούτων ἕνεκα ταῦτα προεῖπον, ὅτι τὸ πρῶτον ἐπιφαινόμενον, ἓν τῶν διατεθρυλημένων ἐστί. *Hæc propterea præfatus ſum, quòd id, quod primum occurrit, vnum ex peruulgatis eſt.*

Idem, τούτου ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν ἀνειμένως μέλλω ποιεῖσθαι τοὺς λόγους. *Hæc eam ob cauſam præfatus ſum, quòd de cæteris apertè & liberè apud vos dicere decreui.*

Lucian. ἀνθ' ὧν ἔπλασας ἀνθρώπους. *Propterea quòd condidiſti homines.*

Nonnunquam ὅτι ſolum ponitur: vt,

Xenoph. θεοὺς προσεκύνουν, ὅτι τετιμωρημένοι ἦσαν τὸν ἀνόσιον βασιλέα. *Deos adorarunt, propterea quod puniuiſſent impium regem. Vbi nota paſsiuam vocem actiuè poſitum eſſe.*

¶ Ideò vt: Propterea vt: Ideò ne, &c.

τούτων ἕνεκα
τούτου ἕνεκα } ἵνα, vel ἵνα μή, vel ὡς. *A celle fin, ou de peur que.*
διὰ τοῦτο

Iſocr. ad Philipp. τούτου γὰρ ἕνεκα ταῦτά σοι διῆλθον, ἵνα μὴ πάθῃς τὸ αὐτὸ τοῖς ἐπιτηδείοις. *Ideò hæc tibi recenſui, ne idem patiaris, quod amici mei.*

Ariſtot. Eth. φασὶ διὰ τοῦτο φυλάττειν, ἵνα μή ποτε ἀναγκασθῶσιν αἰσχρόν τι πράξαι. *Dicunt ſe ob id ſua conſeruare, ne aliquando dedecus admittere cogantur.*

Lucian. διὰ τοῦτό σε ἀνήρπασα, ὡς ἅμα καθεύδοιμεν. *Ideò te rapui, vt vna condormiremus.*

Habet & hic locum præpoſitio διὰ cum articulo neutri generis & infinitiuo: vt,

Lycurg. διὰ τὸ μὴ ἐν τοῖς πρότερον χρόνοις γεγενῆσθαι τοιοῦτον μηδέν. *Ideò quo. ſuperioribus temporibus nihil tale factum eſſet.*

Ariſtot. διὰ τὸ πολλάκις νενικηκέναι, θαρροῦσιν ἐν κινδύνοις. *Propterea quòd ſæpè vicerunt, audaciores ſunt in periculis.*

Iſocr. διὰ τὸ δοκεῖν κρείττους εἶναι, μεγαφρονοῦσι. *Ideò quòd ſibi videantur meliores eſſe aliis, arroganter de ſe ſentiunt. Accuſatiuus verò ſi ad infinitiuum accedit, per nominatiuum reddendus eſt.*

¶ Idem quod.

ταυτὸ

τῇ εὐδαιμονίᾳ. Idem quod ſecunda fortuna:vt,

Ariſtot. ὡς ταυτὸ τίθενται ἔνιοι τὴν εὐτυχίαν τῇ εὐδαιμονίᾳ. *Quidam felicitatem putant eſſe idem, quod ſecundam fortunam.*

τῷ ἀδικεῖν. Idem, quod iniuria afficere:vt,

Ariſtot. οὐ ταυτὸν, τὸ τὰ ἄδικα πράττειν τῷ ἀδικεῖν. *Non idem eſt iniuſte agere & iniuria afficere.*

Idem, τὸ εὖ πράττειν ταυτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. *Benè agere idem, quod beatum eſſe exiſtimant.*

ὅπερ, &c. vt,

Iſocr. ποιήσεις ταυτὸν, ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί. *Facias idem, quod in gymnicis certaminibus ſpectatores.*

Demoſth. μὴ πάθωμεν ταυτὸν, ὅπερ ἤδη πολλάκις πεπόνθαμεν. *Ne nobis idem accidat quod iam ſæpe nobis contigit.*

τὸ αὐτὸ eundem vſum habet:vt,

Iſocr. ad Philipp. τούτου ἕνεκα ταῦτά σοι διῆλθον, ἵνα μὴ πάθῃς τὸ αὐτὸ τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς. *Ideo hæc tibi commemoraui, ne idem tibi accidat, quod amicis meis. Vbi obſeruandum eſt, datiuos* τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς, *regi à pronomine* αὐτὸ, *vt in Syntaxi de Pronominibus docetur.*

Idem eſt, ταυτόν ἐστι.

Plutarch. ταυτόν ἐστιν ἕπεσθαι Θεῷ, καὶ πείθεσθαι Θεῷ. *Idem eſt, Deum ſequi, & Deo obedire.*

Ariſtot. τὸ ἄνισον, καὶ τὸ πλέον, οὐ ταυτόν. *Inæquale & plus non eſt idem.*

Idem, τὸ ἄδικον καὶ ἡ ἀδικία, οὐ ταυτά. *Iniuſtum & iniuſtitia non ſunt eadem.*

Dion. ταυτόν ἐστιν ἐπ' εὐτυχίᾳ μεγαφρονεῖν, καὶ ἐπ' ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν. *Idem eſt in ſecundis rebus ſuperbire, & in lubrica via curſu contendere.*

¶ Idoneus, Aptus, Commodus, Oportunus, Solers.

ἐπιτήδειος.

καιρός. Commoda occaſio. Demoſt.

πρός τι Idoneus ad aliquid:vt,

Ariſtot. τίς ἐπιτήδειος πρὸς φιλίαν; ὁ πλεῖστα ἀδικεῖσθαι δυνάμενος. *Quis eſt idoneus ad amicitiam? qui multas iniurias ferre poteſt.*

ἐπιτήδειος

τοῖς πλέουσι.(cum datiuo)vt,

Pauſan. in Att. τοῖς τε γὰρ πλέουσιν ἐπιτηδειότερος ὁ Πειραιεύς. *Nauigantibus enim Piræus commodior & magis opportunus eſt.*

εἰς τοῦτο. Aptus vel idoneus ad hoc:vt,

Herodian. σώματος εὐεξίᾳ, καὶ ἡλικίας ἀκμῇ εἰς μάχην ἐπιτήδειοι. *Commoda valetudine, & ætatis vigore ad pugnam apti. Vbi nota datiuum inſtrumentalem.*

πολιτεύεσθαι (cum infin.) Aptus ad gerendam Rempub. vt,

Demoſth. πάντα μᾶλλον ἢ ἐν δημοκρατίᾳ πολιτεύεσθαι ἐπιτήδειός ἐστιν. *Ad quiduis potius, quam ad Remp. in imperio populari gerendam idoneus eſt* ἐπιτήδειός ἐστι παθεῖν. *Idoneus eſt ad patiendum. idem.*

χρήσιμος ἐπί τι

Demoſth. ἐπὶ μὲν καλὸν καὶ χρηστὸν πρᾶγμα οὐδὲν οὗτος ἐστὶ χρήσιμος. *Ille ad nullum honeſtum aut vtile munus, aut negotium idoneus eſt.*

Habet & hic locum adiectiuum nomen πρακτικὸς cum genitiuo caſu:vt,

Ariſtot. Eth.5. ἀφ' ἧς πρακτικοὶ τῶν δικαίων εἰσί. *Ex quo (habitu) ad res iuſtas gerendas idonei ſunt.*

Idem. ἂν καὶ πρακτικώτεροι ἐσόμεθα, καὶ μάλιστα περὶ ταῦτα πονήσομεν. *Ad quas res aptiſſimi erimus, in iis potiſſimum elaborabimus. Vbi nota comparatiuum.*

εὐάρμοστος πρός τι. Idoneus, aptus, vel habilis ad aliquid: vt,

Baſil. de puero. εὐμαθὲς καὶ πρὸς πάντα εὐάρμοστον. Docilis, & ad omnia habilis vel idoneus.

Iſocr. ἕξιν ψυχῆς πρὸς ἅπαντα εὐάρμοστον.

Suid. ἐδόκει πρὸς πάντας τοὺς καιροὺς εὐαρμοστότερος εἶναι. *Vbi obſeruabitur comparatiuus.*

ἄχρηστος } πρός τι. Ineptus ad aliquid. *Qui n'eſt pas propre à quelque choſe.*
ἀφυὴς }

Demoſth. πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων ἁπάντων ἀνθρώπων ἀχρηστότατος. *Ad res magnas & graues omnium hominum ineptiſſimus eſt.*

Idem. πρὸς τὰς χρείας ἀφυὴς παντάπασι. *Ad vitæ vſus prorſus ineptus.*

Iſocr. πάντων ἀφυέστατος πρὸς τὸ πολιτεύεσθαι. *Omnium ineptiſſimus ad gerendam Rempub.*

εὐφυὴς πρός τι. Qui natura habilis & idoneus eſt ad aliquid. Ariſt.

ἱκανός.

[διδάσκειν. Idoneus ad docendum (cum infin.) Iſocr.

ἱκανὸς
φέρειν τοὺς πόνους, Idoneus ad ferendos labores. Plato.
πρός τι. Aptus ad aliquid. Lucian.
τὸ σῶμα. Qui corpore aptus eſt. Xenoph.
κριτής, Idoneus iudex.

Iſocrat. οἱ ἱκανώτατοι τῶν πολιτῶν, *Maximè idonei ciues.*

Herodian. ἱκανώτατος ἦν πάντων τῶν ἀνθρώπων μάλιστα προσποιήσασθαι εὔνοιαν. *Omnium hominum ſolertiſſimus erat ad ſimulandam amicitiam. Vbi nota infinitiuum.*

Iſocrat. οὐδ' ἂν κριτὴν ἱκανώτερον ἔχοιμεν ἐπαγαγέσθαι. *Neque iudicem magis idoneum poterimus adducere, Vbi Vides comparatiuum.*

πράττειν
ἀδύνατος Ineptus in rebus gerendis. Iſocrat.
δυνάμενος. Idoneus ad agendum. Iſocrat.

¶ Fatale eſt, In fatis eſt, Fatum eſt.

εἵμαρται, εἵμαρτο.

Demoſth. Concion. exord. ἡμῖν εἵμαρται μηδέποτ' εὖ πράττουσιν εὖ φρονεῖν. *Nobis fatale eſt, nunquam in rebus ſecundis rectè ſapere.*

Idem pro corona, μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι. *Nobis Vna cum Thebanis certantibus fatale fuit ſic agere.*

εἱμαρμένος. *Fatalis. Plutarch.*

¶ Imminere, Impendere.

ἐπικεῖσθαι,

ἐπίκειται
κίνδυνος Periculum impendet. vt,
Herodian. ὁρᾷ προὖπτον κίνδυνον ἐπικείμενον. *Videt manifeſtum periculum imminere.*
Plutarch. κίνδυνον ἐν κεφαλῇ ἐπικείμενον αὐτοκράτορι. *Imperatoris capiti imminere periculum.*
πέλεκυς τοῖς αὐχέσι. Securis imminet ceruicibus. Herodian.
τέλος. Finis imminet.

Herodian. ἀντειπόντι σοι, καὶ μὴ συμπνεύσαντι ἡμῖν τέλος ἐπίκειται. *Si refragatus fueris, & nobiſcum non conſpiraueris, hodie Vitæ exitus tibi imminet.*

2. ἐπικρέμασθαι.

Plutarch. ad Apollon. ἀφύλακτος ἡμῖν ἐπικρέμαται θάνατος. *Inevita-*

biliter crudelis mors imminet.

ὁ ἐπιὼν
ὁ προσιὼν
ὁ ἐπιστὼς
ὁ ἐπιστὰς
ὁ ἐφεστηκὼς
ὁ ἐνεστὼς
ὁ ἐπικρεμάμενος
ὁ ἐπικείμενος

κίνδυνος καὶ πόλεμος. Bellum & periculum imminens vel impendens. *Extant apud Iſocrat. Demoſth. & Plutarc. Guerre, Danger eminent ou proche.*

κίνδυνον ὑπὸ τῶν ἐναντίων προσιόντα, ἀνδρείως ὑπομένειν. *Periculum quod ab hoſtibus imminet, fortiter ſuſtinere. Demoſth.*

ADIVNCTA.

¶ *Impendere.*

κυρίων φόβων ἐπηρτημένων Lucian. ſexcentis timoribus impendentibus.

τὸ μέγεθος τῶν ἐπικειμένων κινδύνων, Dio. Imminentium, incumbentium.

ὁ ἐπικρεμάμενος κίνδυνος, Æſc. id eſt, ἐπηρτημένος. ὁ ἐπιὼν κίνδυνος d em. imminens, vrgens.

¶ Immorari, Commorari, Tempus terere, Operam ponere.

διατρίβειν.

διατρίβειν

τινὶ, cum datiuo, Rei alicui immorari: vt,

Cebes Theban. χρὴ διατρίβειν τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λαβεῖν. *Decet immorari rebus illis, quæ dicta ſunt, donec habitum acquiras.*

ἐν τῇ Ῥώμῃ Romæ commorari: vt,

Herodian. ἔτη οὐκ ὀλίγα ἐν τῇ Ῥώμῃ διέτριψε. *Romæ non paucos annos commoratus eſt.*

κατά τι. Alicui rei immorari: vt,

Demoſth. ἵνα μὴ καθ᾽ ἕκαστα λέγων διατρίβω. *Ne ſingulis commemorandis immorer, ſeu tempus teram.*

Iſocrat. τί δεῖ καθ᾽ ἓν ἕκαστον λέγοντα διατρίβειν; *Quid opus eſt ſingulis recenſendis tempus terere?*

περί τι. In aliqua re immorari: vt,

Iſocr. in Hel. ἵνα μὴ δοκῶ περὶ τὸν αὐτὸν τόπον δι᾽ ἀπορίαν διατρίβειν. *Ne ob inopiam huic loco videar tutius immorari.*

Idem, ad Nicocl. περὶ ταῦτα τὰ ἐπιτηδεύματα δεῖ διατρίβειν *In his ſtudiis decet immorari.*

περί τι πολὺν χρόνον. Diu in aliqua re immorari. Iſocr.

¶ Inuenio & præpoſitionem περὶ aliquando omiſſam eſſe: vt, *Iſoc.* καὶ τί δεῖ τὰς ἀνθρωπίνας δόξας λέγοντα διατρίβειν; *Et quid opus eſt opinionibus humanis recenſendis immorari?*

Idem contra Lochit. καὶ τί δεῖ τὰς τῶν ἄλλων συμφορὰς λέγοντα διατρίβειν; *Quid opus eſt recenſendis aliorum calamitatibus tempus terere?*

ἐνδιατρίβειν } τοῖς ἀνιαροῖς. Immorari rebus moleſtis. Demoſth.
ἐπιμένειν } Iſocr.

ἐνδιατρίψαι τῇ περὶ τοὺς βίους ἀναγραφῇ. *In conſcribendis vitis tempus & operam ponere. Plutarch. in Pericle.*

πλείστην διατριβὴν περί τι ποιεῖν } Multum temporis in aliqua re ponere. Diu in aliqua re immorari. Iſoc.
πολὺν χρόνον περί τι διατρίβειν }

¶ Impedire, Prohibere, Obſtare.

κωλύειν.

κωλύειν

τινά. Impedire aliquem: vt,

Plutarch de Catone. ἔλεγε τοὺς δυναμένους κωλύειν τοὺς κακῶς ποιοῦντας, ἐὰν μὴ κωλύωσι, καταλεύειν. *Cato dicebat eos (magiſtratus) qui poſſent, nec tamen propulſarent iniuriam, eſſe lapidandos.*

Iſocr. epiſt. 7. νῦν σοι μὲν συμβουλεύσομεν, ἂν μὴ κωλύῃ με τὸ γῆρας. *Nunc tibi conſilium dabimus, niſi me ſenectus impediuerit.*

οὐδὲν διαμυθολογῆσαι πρὸς ἀλλήλους. [cum infinitiuo] Nihil impedit, Nihil obſtat, quò minus colloquamur. Plato in Apol.

Demoſth. contra Timarch. τί κωλύει ἅπαντας εἶναι πονηρούς, εἰ τοῦτ' αὐτῷ τὸ ἀσέβημα πλεῖον ἕξει; *Quid obſtat quo minus omnes improbi ſint, ſi huic tam lucroſa erit improbitas?*

τῶν κακῶν. [cum genitiuo] Prohibere vitia, vel à vitiis.

Chryſoſt. τὸ δέος κωλύει πονηρευμάτων. *Metus prohibet vitia, vel deterret a vitiis.*

ἀπὸ τῶν αἰσχρῶν. [cum præpoſit.] Prohibere à rebus turpibus Xenoph.

Sic Cæſar : A contumeliis militum conuitiiſque prohibuit.

τινὰ τοῦ ὁρᾶν Obſtare alicui ne videat. Demoſth.

τινὰ λαβεῖν ἀρχὴν [cum accuſ. perſonæ & infinit.] Impedire aliquem ne regnum occupet. Demoſth.

μὴ ὑβρίζειν [cum negatiua voce & infinitiuo] vt,

Demoſth. ὁ νομοθέτης ἐκώλυσε μηδ᾽ εἰς τοὺς δούλους ὑβρίζειν. *Legiſlator prohibuit, ne quis ſeruos etiam contumelia afficeret.*

2. διακωλύειν.

Plato in Apol διακωλύω πολλὰ ἄδικα ἐν τῇ πόλει γίγνεσθαι, *Impedio vel obſto, ne multa iniqua in ciuitate fiant.*

Idem Polit. 2. τὸν μὲν σκυτοτόμον διεκωλύομεν μήτε γεωργὸν ἐπιχειρεῖν εἶναι ἅμα. *Sutorem prohibebamus vetabamúſque, ne ſimul & agriculturam exercere conaretur.*

3. κατακωλύειν.

Demoſth. οὐδ᾽ αὖ ἐμὲ ἡνίκα δεῦρο ἀποπλεῖν ἐβουλόμην, κατεκώλυσεν. *Neque me, cùm huc nauigare vellem impediuit.*

Xenoph. μή σε κατακωλύω, ἀπιέναι ἤδη βουλόμενον. *Ne te impediam iam abire volentem. Vbi obiter nota, ſolam vocem* μὴ *cum coniunctiuo verbo pro* ἵνα μὴ *poni.*

In paſſiuo.

Idem, ἐν μιᾷ στερηθέντες ἡμέρᾳ πάντων τῶν ἀναγκαιοτάτων, ἀλῆται καὶ πτωχοὶ καθεστήκαμεν. *Vno die omnibus rebus neceſſariis deſtituti, errones & mendici facti ſumus.*

Idem, ἢ ταῦτα λαβεῖν, ἢ στερηθῆναι τῆς ψυχῆς. *Aut hæc accipere, aut vitam amittere.*

ἀφαιροῦμαι τὴν οὐσίαν. (cum accuſatiuo) Priuor bonis:vt,

Iſocr. in Trapez. εὑρήσετε τὸν πατέρα μου συνειλημμένον, καὶ τῆς οὐσίας ἁπάσης ἀφῃρημένον. *Inuenietis patrem meum captum eſſe , & omni* *ſubſtantia ſpoliatum.*

Plutarch. ἀφαιρεθέντες τὰς τιμάς. *Honoribus ſpoliati.*

Idem, ἀφαιρεθεὶς τὴν ἀρχήν. *Regno ſpoliatus, Cui regnum ademptum eſt.*

Xenoph. ἐάν τις τὸν ἥλιον ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. *Si quis imprudenter in Solem vult intueri, viſu priuatur.*

ἀφῃρημένος
τὴν ἀκοήν. Auribus captus, *Qui eſt ſourd.*
τὴν ὄψιν. *Oculis captus Qui eſt aueugle.*
τὰς φρένας. Mente captus. *Qui eſt hors du ſens.*

3. συλᾶν.

συλᾶν
τὴν πατρίδα. Patriam ſpoliare, depeculari, compilare. Plato.
τοὺς ναοὺς καὶ τὰ τῶν θεῶν ἕδη. Deorum ſimulachra & templa ſpoliare. Iſocr. in Paneg.
Demoſth. οἱ τῶν Ἀθηναίων στρατηγοὶ τὰ πλοῖα ἐσύλων. *Athenienſium duces nauigia ſpoliauerunt.*
πλεῖστα τοὺς ἀνθρώπους. Plurimis rebus homines ſpoliare. Xen.

4. σκυλεύειν.

Ariſtot. οἱ τοὺς τεθνεῶτας σκυλεύοντες *Qui mortuos ſpoliant. Dicitur &* σκυλεύειν *de viuentibus.*

Xenoph. τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. *Nulli ciuium tunicam detraxerunt.*

Demoſth. ἐν τῇ μάχῃ τῶν στρατιωτῶν τινῶν ὑπὸ τῶν πολεμίων σκυλευθέντων. *Cùm in pugna quidam milites ab hoſtibus ſpoliati eſſent.*

πεπηρωμένος
πηρωθείς
Membro aliquo corporis mutilatus ſeu truncatus. *Qui eſt mutile ou eſtropié de quelqu'vn de ſes membres.*

Demoſth. ὁ πεπηρωμένος τὸ σκέλος.

Ariſtot. τὸ γὰρ θῆλυ ὥσπερ ἄρρεν πεπηρωμένον. *Fœmina perinde eſt, vt mas mancus.*

ADIVNCTA.

¶ *Priuare.*

στερεῖσθαι, vel ἀποστερεῖσθαι, Demoſt.

τῆς πατρίδος καὶ τῶν ὄντων ἀποστερεῖσθαι, patria atque fortunis priuari.

οἵας ἀπεστερήθην θυμηδίας; Baſil. qua animi voluptate carui?

ἀφαιρεῖσθαι. Phil.

μὴ τὸν σοφὸν ἀφέλῃς τὰ πρέποντα ἐγκώμια, ne ſapientem meritis laudibus fraudes.

ταύτην τὴν ὠφέλειαν ἀφελέσθαι τοὺς φιλολόγους. Muſon. hac vtilitate priuare litterarum ſtudioſos.

τῆς τιμῆς καθεῖλε, Suid. dignitate atque ornamentis priuauit, exauctorauit. *il le demit de ſon eſtat.*

περιώσασθαι τῆς τιμῆς, Lucia. idem quod καθελεῖν, omni dignitate exturbare, vel, vt Cicero loquitur, ſpoliare.

τῆς τοῦ βασιλέως εὐνοίας ἐκπεσεῖν, idem. regis beneuolentia excidere, in offenſionem regi venire.

τῆς βασιλείας ἐλπίδος ἐκπεσεῖν. Chryſ.

τηλικαύτης ὠφελείας χηρεύειν, Theoph. id eſt, στερηθῆναι, tali vtilitate carere.

εἴ τις ὑμᾶς βούλοιτο παῦσαι τῆς ἀρχῆς, Xenoph. id eſt, ὑμᾶς ἀφελέσθαι τὴν ἀρχήν, vt ſuprà.

παραλύειν τῆς ἡγεμονίας, Suid. id eſt, καθελεῖν τῆς ἀρχῆς. ὃν παραλύσας τῆς ἀρχῆς Πίσωνι ἐπέστησεν.

καθῃρέθη τῆς τιμῆς, idem. honore deiectus eſt.

τοὺς στρατιώτας γυμνῶν τῆς ἑαυτοῦ βοηθείας, Chryſoſt. milites ſuo auxilio nudans, deſtituens. ἀποστερῶν.

Prætermittere, Omittere, Silentio præterire, Præterire.

παραλείπειν.

παραλείπειν

Omittere, Præterire aliquid vt,

Demoſth. πολλὰ τοίνυν ἕτερα ἔχων λέγειν περὶ αὐτοῦ παραλείψω. *Cùm multa alia de eo dicere poſſim, omittam.*

Idem, μυρία ἕτερα εἰπεῖν ἔχων παραλείπω, ναυμαχίας, ἐξόδους, καὶ. *Et ſi infinita alia haberem, quæ dicerem, tamen omitto, vt pote prælia naualia, expeditiones, &c.*

τὰ μικρότατα. Minima præterire, Iſocr.

τι λόγῳ. Oratione aliquid præterire. Iſocr. Plato.

In paſſiuo.

Iſocr. in Hel. πολὺ πλείω παραλελειμμένα τῶν εἰρημένων ἐστί. *Longè plura à me omiſſa ſunt, qaam dicta.*

διαλείπειν
καταλείπειν } τί. Aliquid omittere, præterire. Iſocr. Dem. *Laiſſer*
ἐᾶν *eſchapper quelque choſe.*

Iſocr. τὰς μὲν ἄλλας μάχας ἐῶ. *Alias pugnas prætereo, omitto.*

Idem, ἃ μὲν προὔλαβε Φίλιππος, ἐάσω. *Quæ antea occupauerit Philippus, omittam.*

ε' δια-

οὐ διαλείπω
οὐδένα χρόνον διαλείπω } μανθάνων. (cum participio) Non omitto, Non desino discere, & ita quidem, vt nec vllum tempus intermittam. GALL. *Ie ne laisse point passer de temps sans apprendre quelque chose.*

Xenop. οὐ πώποτε διέλιπον ζητῶν καὶ μανθάνων. *Nunquam destiti quærere & discere.*

Isocrates ad Philippum. οὐδένα χρόνον διαλείπουσιν ἢ στρατεύοντες ἐπί τινας, ἢ βοηθοῦντες τοῖς ἀδικουμένοις. *Nullum tempus intermittunt aut militando contra quosdam, aut adiuuando eos, qui affliguntur.*

¶ Pertinet & huc participium ἀφέμενος genitiuo iunctum: vt,

Isocr. De permut. ἀφέμενος τούτων περὶ ὧν οἴσετε τὴν ψῆφον, πειράσομαι ὑμᾶς διδάσκειν. *His omissis & præteritis, de quibus sententiam feretis, vos docere conabor.*

Eundem vsum habet & participium ἀφεὶς cum accusatiuo: vt,

Demosth. ἀλλὰ παρεὶς ἐκεῖνα πρὸς αὐτὰ τὰ τοῦ βίου βαδιοῦμαι κατηγορήματα. *Sed his omissis ad morum tuorum accusationes progrediar.*

ὑπερβαίνειν. Aliquid Silentio præterire: vt,

Æschines contra Timarch. ἐκὼν ταῦθ' ὑπερβήσομαι. *Hæc vltrò vel volens præteribo.*

2. παραλειπτέον.

Plut. τὸ δὲ τοῦ Πλάτωνος οὐ παραλειπτέον. *Illud autem Platonis dictum non omittendum, vel silentio prætereundum est.*

ADIVNCTA.

¶ *Prætermittere.*

οὔτε ἀνοίας οὐδὲν ἐλλείπειν, οὔτε ἀναισχυντίας, Plat. 8. Polit. nihil amentię atque impudentię prętermittere. nihil sibi ad omnem amentiam impudentiámque reliqui facere.

ἀσελγείας, καὶ ὕβρεως οὐδ' ὁτιοῦν ἀπέλιπον, Dem. nullum libidinis & contumelię genus omiserunt.

οὐδεμίαν ἀκολασίας ἰδέαν παραλέλοιπε, Lucia.

οὐδὲν εἶδος ἀσεβείας ἐνέλειπεν. idem.

οὐ γὰρ ὁ Θεὸς ἐνέλιπέ τι τῶν εἰς κατόρθωσιν ἡκόντων τῶν ἐκείνου, Chrysost. neque enim Deus quicquam, quod ad ipsius emendationem faceret, omisit.

¶ *Prætermitto dicere.*

καὶ ἄλλα γε δὴ μυρία ἐπιλείπω λέγων, Plat. in Phileb. ſexcenta alia mitto dicere.

τὰ μὲν ἄλλα σιωπῶ πολλὰ ἂν ἔχων εἰπεῖν. Dem. alia taceo multa, licet commemorare queam.

οὐδὲν τῶν λεκτέων παρήκατε, Luc. nihil eorum, quæ dicenda erant, omiſiſtis.

ὃ γὰρ μάλιστα ἐχρῆν εἰπεῖν, τοῦτ' οὐκ οἶδα ὅπως παρέλιπον, idem. quod potiſſimum dicendum erat haud ſcio quo pacto prætermiſi.

τοὺς λοιποὺς ὑπερβήσομαι, Gregor. reliquos tranſiliam, id eſt, tacebo.

ἐῶ λέγειν τοὺς πόνους, idem. mitto labores, mitto dicere.

ἀφίημι τοὺς διωγμούς, idem. nihil dico de perſecutionibus.

3. σιγᾶν.

σιγᾶν
Tacere, Silere, *Aeſchilus*, φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια. *Aut ſolet tacere, aut loquitur tempeſtiuè.*
πρὸς ταῦτα. Ad hæc tacere. Xenoph.

4. σιωπᾶν.

σιωπᾶν
Tacere, Præterire. *Plutarch.* ὦ παῖ σιώπα· πόλλ' ἔχει σιγὴ καλά. *O puer tace. Silentium continet multum boni.*
πολλά. *Demoſth.* τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν. *Alia taceo ſeu prætereo, etſi multa haberem dicenda.*
ἀπόρρητα. Arcana reticere. Laert.

ἀποσιωπᾶν, Tacere, item in medio ſermone conticeſcere. Plutarch.

κατασιωπᾶν, Tacere. Sequitur autem aliquando particula ὅτι, aliquando præpoſitio περὶ cum genitiuo. Iſocr.

Eundem vſum habet & κατασιωπητέον, Tacendum, reticendum eſt.

σιγὴ
σιωπὴ
Silentium, Taciturnitas. *Silence.*

* Silentio præterire ἀποσιωπᾶν, σιωπῇ παρελθεῖν, ſicut Gallicè dicitur *Paſſer ſous ſilence.*

Altum agere ſilentium, μακρὰν σιγᾶν σιγήν.

Superſedere, κατοκνεῖν λέγειν.

Demoſth. πάντα μὲν κατοκνῶ λέγειν φυλαττόμενος μὴ μῆκος ἄκαιρον ἐγγένηται τοῦ λόγου. *Omnia referre ſuperſedeo, metuens, ne mihi æquo prolixior naſcatur oratio.*

ἀποκρύπτεσθαι. Diſſimulare.

Demoſt. ὡς ἔχω περὶ τούτων, λέξω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. *Quid ego de his ſentiam, exponam vobis & non diſsimulabo.*

Iſocr. τἀληθὲς οὐκ ἀποκρύψομαι. *Veritatem non diſsimulabo.*

¶ Finire, Finem imponere, Abſoluere.

τέλος ἐπιθεῖναι

ἔργῳ μεγάλῳ. Magno operi finem imponere. Plutarch.

τοῖς λόγοις Orationibus finem imponere, Iſoc.

τοῖς γεγραμμένοις: vt,

Iſocr. τέλος ἐπιθεὶς τοῖς γεγραμμένοις. *Finem ſcriptis imponens.*

λόγον

καταλύειν. Orationem finire: vt,

Iſocr. ἐγὼ μὲν γὰρ ἄλλους ὁρῶ περὶ τὰ μέγιστα τῶν ἔργων τοὺς λόγους καταλύοντας. *Alios video ſuas orationes in illis finire, quæ maxima ſunt.*

ἐκπεραίνειν Orationem abſoluere: vt,

Iſocrates. ἐγὼ δὲ λόγους ἐκπεραίνειν ἐπιχειρήσω μικρόν τι προειπών. *Orationes has abſoluam vbi pauca præfatus fuero.*

Eundem vſum etiam διαπεραίνω & ἐκπεραίνω, accuſatiuo, λόγον ὀλίγα, aut ſimili iuncta, habent.

A D I V N C T A.

¶ *Finem imponere.*

διαπεραίνειν τὸν λόγον, Plat. in Gorg. ſermonem concludere.

μέχρις ἂν τὸν ἀπονεμηθέντα τοῦ βίου χρόνον διαντλήσῃ, Phil. quouſque attributum ſibi vitæ tempus extantlarit, vel, conceſſum ſibi vitæ curriculum confecerit.

ἐνταῦθα τοῦ λόγου λήξομεν, idem. finem dicendi faciemus.

ὅρον καὶ μέτρον ταῖς λύπαις ἐπιθεῖναι Baſil. modum ac finem mœroribus afferre, imponere, conſtituere.

πότε ὁ ψαλμῳδὸς τοὺς στίχους συμπληρώσει, idem. quando is, qui pſalmos canit, verſus abſoluet.

ἴσχεσθαι τῆς μανίας, Chryſoſt. id eſt παύσασθαι μαινόμενον, furori finem imponere.

οὐδὲ οὕτω τὴν ἔχθραν ἔστησε, Baſil. ne ſic quidem odii finem fecit.

¶ Probare, Explorare, Diiudicare, Cognoſcere. Tentare, Experiri, Explorare, Periculum facere.

δοκιμάζειν
διαγινώσκειν
ἀνακρίνειν
γνωρίζειν
διορᾶν

φίλους. Amicos probare. Explorare, Diiudicare. *Experimenter ſes amis.*

AA a

Demoſth. κήρυκα δεῖ δοκιμάζειν καὶ εἰ εὔφωνός ἐστι σκοπεῖν. *Præconem oportet probare, & an vocalis ſit, videre.*

Iſocr. δοκίμαζε τοὺς φίλους ἐκ τῆς περὶ τὸν βίον ἀτυχίας· *quo ſenſu dixit Ennius, Amicus certus in re incerta cernitur. Ouidius autem dixit, Tempore duro eſſe inſpiciendam fidem.*

Iſocr. ad Demon. τὸ μὲν χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. *Aurum igne probamus, amicos vero in rebus aduerſis cognoſcimus & diiudicamus. Idem ad Nicocl.* οὐ δεῖ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς ἀνακρίνειν, ἀλλ' ἐπὶ τῇ πράξει τῶν χρησίμων αὐτοὺς δοκιμάζειν. *Non oportet prudentes metiri & iudicare voluptatibus, ſed in honeſtis & vtilibus actionib. eos probare, Ibidem.* πειρῶ γνωρίζειν ἅμα τοὺς λέγοντας, ὁποῖοί καὶ τινές εἰσι. *Studeas cognoſcere & diiudicare illos, qui loquuntur, quales & qui ſint. Ibidem,* διάκρινε τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας. *Diiudica & diſcerne illos, qui arte aſſentantur, & qui cum beneuolentia te colunt.*

ποιεῖσθαι δοκιμασίαν
ποιεῖν διάγνωσιν
λαβεῖν διάγνωσιν
λαμβάνειν ἔλεγχον
πειρᾶσθαι
} τινός. Aliquid probare, explorare, diiudicare. Iſocr. GALL. *Faire l'eſſay de quelque choſe.*

δεδοκιμασμένος. Perſpectus, probatus, Approbatus. Plato, Δίων δεδοκιμασμένος παρ' ἐμοί.

διάνοιαν τινὸς διεγνωκέναι. Mentem ſeu animum alicuius perſpectum habere. Iſocr.

ADIVNCTA.

¶ *Probatio.*

ὅταν τις ψιλῷ χρησάμενος λόγῳ, μὴ παρέχηται περὶ ὧν λέγει, Demoſth. cùm quis nudis verbis vſus, nullam probationem adhibet.

κακίαν δέ με καὶ πονηρίαν ἐμοὶ προσοῦσαν οὐ δείξει, idem. non enim me improbitatis ac nequitiæ coarguet atque conuincet.

μηδὲ μιᾶς ἀποδείξεως τοῖς ἐγκλήμασιν ἐπενεχθείσης, ταῖς τιμωρίαις ἐκδίδονται, Baſil. nullius criminis comperti atque conuicti, deduntur ad ſupplicia.

πρὸ ἐναργῶν ἀποδείξεων, idem. priuſquam certa ac perſpicua argumenta adhibita fuerint, vel, nullis adhibitis certis ac luculentis probationibus

2. πεῖραν λαβεῖν ſeu λαμβάνειν.

λαμβάνειν πεῖράν τινος. Periculum facere, an, &c. vt,
Aeſchines, πεῖραν ὑμῶν λαμβάνειν εἰ δυνατόν. *Facio pericu-*

lum

πεῖραν

Tento ſeu exploro vos, an poſſitis.

λαμβάνειν τινός. Alicuius rei periculum facere: vt,

Plato, πάρεστι τούτου πεῖραν λαμβάνειν. Licet huius rei periculum facere.

λαβεῖν τῆς γνώμης τῶν στρατιωτῶν. Periculũ facere animi ſeu voluntatis militum, Tentare ſeu explorare animos militum. Herodian.

λαβεῖν τινὸς ἔργῳ (cum datiuo inſtrumentali) Re ipſa aliquid experiri vel probare. Demoſth.

λαμβάνειν τοῖς φανεροῖς. In rebus manifeſtis experimentum capere: vt,

Iſocr. in Buſir. βουλόμενος πεῖραν λαμβάνειν τοῖς φανεροῖς, ἥν τινα περὶ τῶν ἀφανῶν διάνοιαν ἔχουσι. In rebus manifeſtis experiri voluit, quid de rebus dubiis & obſcuris ſentiant.

ἔχειν τινός. Aliquid expertum eſſe. Xenoph.

λαμβάνειν ἐπί τινος. In aliqua periculum facere, Iſocrates in Archid.

¶ πειρᾶν γυναῖκα. Mulierem tentare ſeu ſollicitare de ſtupro. Lucian. & Ariſtoph.

Huc pertinent.

δεῖ πειρᾶσθαι. Periculum faciendum eſt. Demoſth.

πιστεύειν τῇ πείρᾳ. Fidem habere experientiæ. Xenoph.

πείρᾳ μεμάθηκα. Experientia didici. Herodian.

3. ἐξετάζειν.

ἐξετάζειν

λόγον. Orationem examinare ſeu diſcutere. Iſocrat.

τὸν βίον τινός. Inquirere vitam alicuius. Demoſth.

τὰς ἁμαρτίας vel τὰ ἁμαρτήματα ἀκριβέστερον, vel λίαν ἀκριβῶς. Peccata alicuius ſcrutari, vel in ea inquirere curioſius. Iſocr.

δεσπότην. In dominum inquirere. Demoſth.

τὰ πράγματα. Res & negotia expendere. Demoſt.

In paſſiuo.

Demoſth. ἄν τις ἴδοι τοὺς οἰκέτας ὑπὸ τῶν δεσποτῶν ἐξεταζομένους.

Herodian. ἐν ταῖς πράξεσι μεγίσταις ἐξετασθείς. In maximis ſpectatus & probatus negotiis.

¶ Examen, Examinatio, Inquiſitio, Scrutatio.

ἐξέτασις.

ἐξέτασιν ποιεῖν τῶν πεπραγμένων. *Examinare acta. Demoſthen.*

Herodian. γενομένης δὲ ἐξετάσεως ἀκριβεστέρας. *Cùm diligentior inquiſitio facta eſſet.*

ἐξετάζειν τοὺς λογισμοὺς πρὸς τὸ δίκαιον. Referre conſilia & cogitationes ſuas ad iuſtitiam. Demoſt.

Conſolari.

παραμυθεῖσθαι.

παραμυθεῖσθαι
τινά. Aliquem conſolari. Æſchin. cont. Cteſiph.
τινὰ μεγαλοδωρίᾳ χρημάτων. Conſolari aliquem pecuniis elargiendis. Herodian. lib. 6.
δυσχέρειαν τινος. Incommodum fortunæ alicuius conſolari. Syneſ. epiſt. 44.

παραμυθία, Conſolatio. φέρειν τινὶ παραμυθίαν Solatium adferre alicui. Solatio alicui eſſe: vt,

Chryſoſt. ἤνεγκε δέ μοι παραμυθίαν οὐ μικρὰν τῶν δεινῶν ἐκείνων. *Attulit mihi non paruum ſolatium calamitatum illarum.*

κουφίσαι τὰς συμφορὰς λόγῳ. Oratione mœſtitiam leuare. Demoſt.

¶ In ſacris Bibliis verbum παρακαλέω, in Conſolandi ſignificatione vſitatiſſimum eſt: vt,

2. *Corinth.* 1. ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. *Pater miſericordiarum, & Deus omnis conſolationis nos conſolans in omni afflictione noſtra.*

In paſſiuo.

Luc. 16. νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. *Nunc hic ſolatio fruitur, tu verò cruciaris.*

Matth. 5 μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. *Beati qui lugent, quoniam ipſi conſolationem accipient.*

ADIVNCTA.

¶ *Conſolatio.*

Παραμυθεῖσθαι. Luc. παρεμυθήσατο τῇ μαντικῇ τὴν συμφοράν, vaticinandi arte calamitatem ſolatus eſt.

ἀπειρηκότα ἤδη θαυμαστῶς ἀνεκαλέσω καὶ παρεμυθήσω τοῖς γράμμασι. Baſil. defectum iam, & languentem, tuis literis mirum in modum recreaſti.

παραμυθία, conſolatio. ἔχων παραμυθίαν, τὸ καὶ πολλοὺς ἄλλους τὰ ὅμοια παθεῖν αὐτοῖς, Lucian. eo animum ſuum conſolans, quòd multi

quoq;

quoque alii eadem perpeſſi fuerint.

Et Herod. ταύτην παραμυθίην ἐποιέετο ἔρωτος ἀπρήκτοιο, hoc ſibi ſolatium fingebat parum felicis in amore ſucceſſus.

παραμυθίαν ἐγὼ παθεῖν, Baſil.

τῶν τε σώματος ἀρρωστημάτων καὶ τῶν ἀλγεινῶν τῆς ψυχῆς παραμυθίαν ἡγεμίζω εἶναι τὴν τοῦ ἀνδρὸς παρουσίαν. De fratre loquitur, cuius aduentu tum corporis morbos, tum animi dolores magnopere ſibi leuatos ait.

χρῆσθαι παραμυθίᾳ, idem.

μιᾷ γὰρ παραμυθίᾳ κεχρήμεθα, vnum ſolatium nobis adhibemus: vel vt alio loco ait, μία ἡμῖν ἀπολείπεται τῶν δεινῶν παραμυθία, vnica nobis reliqua eſt conſolatio.

ἀφαιρεῖσθαι παραμυθίαν, Syneſ.

ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε, hoc quoque ſolatium mihi ademiſtis.

παραμύθιον etiam in neutro genere dicitur.

Philo. ἓν ἔχοντες συμφυὲς παραμύθιον, congruum ſolatium.

παρηγορεῖν, idem quod παραμυθεῖσθαι, Plato.

ἀφικόμενος ἂν παρηγορήσω αὐτὸν ὅπως &c. Demoſth.

δεῖ δὲ πειρᾶσθαι καὶ πρὸς τὰ παρηγοροῦντα τρέπειν τὴν ψυχὴν, conandum eſt mentem quoque ad ea conuertere, quæ ſolatio eſſe queunt. Hinc nomen παρηγορία. λύπαις ἀπαύστοις γεμισθέντες οὐδὲ παρηγορίας διὰ ὑπερβολὰς κακῶν ἀνέξονται. Philo. perpetuo mœrore afflicti, atque obruti, præ magnitudine malorum, ne conſolatoriam quidem orationem ſuſtinebunt.

παρηγορικοὶ λόγοι, idem quod παρηγορίαι.

τὴν λύπην τῇ ἐπαντλήσει τῶν παρηγορικῶν λόγων διεφόρησας, Baſil. conſolatoria ea oratione, quam infudiſti, mœror animi mei abs te diſceſſus eſt.

παραψυχή, idem quod παρηγορία, vel, παραμυθία. παραψυχὴν τῷ πένθει τὴν τούτων εὔκλειαν ἔχοντες. Demoſth. luctum ſuum horum gloria conſolãtes, mitigantes, Et rurſus, ἵν' ἂν εἰ καὶ μηδὲν ἄλλο, ταύτην γ' ἔχωμεν παραψυχὴν τὸ, &c. vt ſi nihil aliud, hoc certè ſolatium habeamus.

λόγῳ κουφίζειν τὰς συμφοράς, idem. ſermone leuare.

ἄκος ὑποτίθεσθαι τῆς λύπης Lucia. mœroris medicinam ſuggerere, ſubminiſtrare.

ἀναπεπτωκότας τὰς γνώμας ἐγεῖραι, Philo. iacentes animos excitare.

ἐλαφρίζειν τὰς ἀνίας, idem. mœrores lenire.

τὴν λύπην ἀφαιρεῖσθαι, Gregor.

ἐγὼ δὲ τῆς λύπης ἀφῄρουν τὸ πλεῖστον, καὶ ἐπανῆγον πρὸς τὸ εὔθυμον. Ego verò maximam mœroris partem adimebam, eumque ad animi tranquillitatem reuocabam.

τὴν ἀθυμίαν ἀποκρούσασθαι, Chryſoſt. depellere.

τοῦ πάθους κρατεῖν, Syneſ.

οὐ τοῖς ἐκ φιλοσοφίας δόγμασι τοῦ παρόντος πάθους ἐκράτησα. Præſentem ægritudinem philoſophiæ præceptis minimè profligaui.

τὴν ἀπουσίαν θεραπεύειν τοῖς γράμμασι. Procop. id eſt, παρηγορεῖν, abſentiam literis lenire, vel, abſentis deſiderium. vel, ſi Græcè ex eodem mauis, συχνοῖς γράμμασι τὴν ἀπουσίαν ἀναίσθητον ποιεῖν, literis crebrò miſſis hoc aſſequi, vt abſentia minimè ſentiatur.

φρονήσει τὸ πάθος θεραπεύειν. Theophanes.

ἐπικουφίζειν, idem quod κουφίζειν, ἡ μὲν οὖν συμφορὰ δυσπαρηγόρητος, καὶ βαρυτέρα, ἢ ὥστε λόγοις ἐπικουφισθῆναι, Phal. in epiſt. ac vix quidem conſolabilis eſt hæc calamitas, atrociorque, quam vt verbis leuari queat.

ἐπιτείνειν μᾶλλον τὰς συμφορὰς ἢ καταπραΰνειν, Baſil. calamitates potius augere, atque exulcerare, quàm mitigare.

Qui conſolationes omnes reſpuit, is Suidæ τῆς παραμυθίας τῇ λύπῃ κρατεῖ. mœroris grauitate conſolationem omnem vincit.

φαρμακεύειν apud Greg. tranſlatè pro conſolari.

τίς φαρμακεύσει τὴν ἀσθενοῦσαν τιμαῖς, quis infirmam corporis valetudinem conſolabitur? Gall. *qui charmera ma maladie?*

κατεπᾴδειν τοῖς λογισμοῖς τὸ λυποῦν, idem. animi mæſtitiam rationibus velut excantare, lenire, ſedare, mitigare, conſopire.

Verbo παραμυθῆσαι in voce actiua quandoque, rariſſimè tamen vtuntur Græci.

παραμυθῆσαι ἡμῶν τὴν ψυχὴν καταξιώσον, Baſil. animum noſtrum conſolari negaueris.

φέρει παραμυθίαν, idem quod παραμυθεῖται, Lucian.

φέρει δὲ παραμυθίαν ἡ κοινωνία τοῦ πράγματος. ſolatium affert.

καρπώσασθαι τὴν παραμυθίαν. Chryſ. conſolationem capere.

τοὺς καταπεπτωκότας διανίστησι, idem. iacentes excitat.

τοὺς διαπίπτοντας ἀνακτᾶσθαι, idem. iacentes ac fractos animos reficere, ac recreare.

ἀνακτᾶσθαι τὴν πεπονηκυῖαν ψυχήν, laboribus fatiſcentem animum inſtaurare. ψυχαγωγεῖν. idem. ſæpe quod παραμυθεῖσθαι.

¶ Qui, ſequente in altero periodi membro Is: vt,

Qui ita affectus eſt, vel qui ita ſentit, is omnia beneuole vel *bono ſtudio dicturus eſt.* ὁ δ' οὕτως ἔχων τὴν ψυχὴν, οὐκ ἂν δι' ἰδίας πονηρίας. *Demoſth.*

¶ Quis adeò ſtultus eſt,qui ignoret,&c. τίς οὕτω vel οὕτως ſequente ὅστις cum indicatiuo:vt,

Iſocr. τίς οὕτως εὐήθης ἐστὶν ὅστις ἀγνοεῖ? *Quis adeò ſimplex eſt,qui hæc ignoret? Idem* τίς οὕτω τῶν προγεγενημένων πραγμάτων ἄπειρος, ὅστις ἐλπίζει? *Quis adeo rerum præteritarum imperitus eſt, qui ſperet,&c.*

Quis adeo ſtupidus eſt, qui non inuenire poßit, quid ad hæc reſpondeat? τίς ἐστιν οὕτως ἀφυὴς, ὅστις οὐχ εὑρήσει πρὸς ταῦτ' ἀντειπεῖν? *Vbi præter alia nota infinitiuum poſt futurum* εὑρήσει.

Quis,niſi inſanus eſſet, τίς, πλὴν, εἰ μή τις.

Iſocr. De pace. τίς ἂν ὁμολογήσειεν, πλὴν εἰ μή τις παντάπασιν ἀπονενοημένος ἐστί, *Quis eam conditionem ſuſciperet, niſi fortè aliquis planè inſanus eſſet?*

Quiſnam ſis, ὅστις εἶ.

Demoſt. οὐχ ἡγῇ γιγνώσκειν αὐτοὺς, ὅστις εἶ, *An putas illos ignorare quiſnam ſis.*

Idem, ἀλλ' αἰτίους οἵτινές εἰσι τούτων ζητήσομεν. *Qui harum rerum autores ſint interrogabimus?*

Xenop. οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον, ὅστις οἰκήσει. *Neque ſplendidè domum ædificanti notum eſt,quiſnam eam inhabitaturus ſit, vbi nota verbum futuri temporis.*

Quidnam ὅ τι:vt,

Demoſth. ἔπεμψεν ἐρησόμενος, ὅ, τι ἐστὶ τὸ συμβεβηκός. *Miſit interrogatum quid accidiſſet.*

Idem, ἦλθον εἰς τοὺς ἐξηγητὰς, ἵνα εἰδείην, ὅ, τι με χρὴ ποιεῖν. *Adiui iuris interpretes vt cognoſcerem,quid mihi agendum eſſet.*

Idem, οὐκ ἀπορῶν ὅ τι χρὴ εἰπεῖν, ἀπορῶ. *Etſi ignarus non ſum, quid dicendum ſit,tamen dubito,&c.*

Quis tandem, τίς ποτε. Quid tandem, τί ποτε.

Æſch. ἀπόδειξιν ποίησαι τί ποτ' ἦν ἃ ἔπραξας, καὶ τί ποτ' ἦν ἃ ἔλεγες *(in interrogatione indirecta) Oſtende quid tandē egeris, & quid tandem dixeris, vel Quænam tandem fuerint,quæ egiſti & dixiſti.*

Quid fecerit,non poſſum dicere. ὅ, τι cum indicatiuo.

Aeſchines contra Timarch ὅ, τι ἐν τῇ τοῦ δεῖνα οἰκίᾳ ἔπραξεν, οὐδαμῶς εὔσχημον λέγειν. *Quid in eius ædibus perpetrauerit, honeſtè à me dici non poteſt.*

Quid mihi agendum ſit delibero.

ὅ, τι χρή με ποιεῖν.

Demoſth. in Olymp. τοὺς νόμους ἐπισκεψάμενος, ἐβουλευόμην μετὰ τῶν φίλων, ὅ, τι χρή με ποιεῖν. *Inſpectis legibus deliberaui cum amicis, quid mihi agendum eſſet.*

Quinam, Quænam, Quodnam.

ὅςις, ὁποῖος τις.

Lucian. εἰπὲ οὖν τινα μισθὸν ἀποτίσεις, *Dic, quamnam mercedem perſolues?*

Plutarch. ἐρώτημα προὔβαλεν, ὅςις ἐν τοῖς ἀνδράσι. *Quæſtionem propoſuit, quiſnam ſit optimus inter viros.*

Iſocr. γνώσῃ, ἢν ἐρωτήσῃς, ὁποῖα τῶν ἐπιτηδευμάτων κάλλιστα ἂν νομίζωσιν εἶναι. *Cognoſces, ſi interrogaueris: quæ inſtituta exiſtiment, eſſe optima.*

Ariſtot. θεωρήσαντες, τίνας δὴ λέγομεν τοὺς φρονίμους. *Conſiderantes quoſnam dicamus prudentes.*

Quæ per ὅσα expreſſum.

Demoſth. ἐν τοῖς παροῦσι καιροῖς οὐχ ὅσα βουλόμεθα, ἀλλ᾽ ὅσα δίδωσι τὰ πράγματα δέχεσθαι δεῖ. *His temporibus, non ea, quæ volumus, ſed quæ dant negotia, accipienda ſunt.*

Quo quid fieri poteſt turpius & ſceleratius? οὐ τί γένοιτ᾽ ἂν αἴσχιον ἢ μιαρώτερον;

Omnes, qui. Omnes quotquot. Omnia quæ vel quæcumque, πάντες ὅσοι, πάντα ὅσα.

Demoſt. πονηρὸς νόμος βλάπτει πάντας, ὅσοιπερ αὐτῷ χρῶνται. *Nefaria lex nocet omnibus, qui ea vtuntur.*

Idem, πάντα μὲν ὅσα ἐστὶ τὰ ὀνείδη φυλακτέον, μάλιστα δὲ τοῦτο. *Cùm omnia quæcunque probra ſunt, vitari debent, tum maximè illud*

Idem, εἰδὼς πάντα ὅσα ἐπεπράχειν ἐγώ. *Cùm ſciret omnia, quæ ego feci.*

Nonnunquam vox πάντα diſſimulatur: vt,

Demoſth. ἐκβέβηκεν ὅσα ἀπήγγειλε πρὸς ὑμᾶς. *Euenerunt quæcunque renunciauit ille.*

Idem, ὑπερβαίνειν ὅσα ἐστὶ δίκαια. *Violare omnia quæ iuſta ſunt.*

τί μήν;
πῶς δ᾽ οὔ; } Quidni?
τί οὐ;

Qui ex vobis probi videntur, hi, vel illi, omnium improbiſſimi ſunt. ὅσοι ὑμῶν ἀγαθοὶ δοκοῦσιν εἶναι, &c.

Vbi particulæ ὅσοι & οὗτοι notandæ ſunt. Iſocrates & alij ſic loquuntur.

Quid ſcripſerit neſcio. ὃ δὲ περὶ αὐτοῦ ἔγραφεν, οὐκ οἶδα, Lucian.

Quid dicam, neſcio, οὐκ οἶδα, ὅ,τι δεῖ λέγειν. Demoſt.

Quid dicas, non intelligo. οὐκ οἶδα, ὅ τι λέγεις, Lucian.

Quid multis verbis opus eſt? τί τὰ πολλὰ δεῖ λέγειν? Demoſth

Idem, τί δεῖ μακρῶν ἐπὶ λόγων; ἢ τί δεῖ λέγειν, ἃ ὑμεῖς ἴστε? *Quorſum attinet illa dicere, quæ vos ſcitis? Demoſth.*

Quis, quæ, quod, interrogatiuè.

ποῖος cum genitiuo plurali:vt,

Iſocr. Archid. ποία τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ τοιοῦτον πόλεμον ὑπέμεινε? *Quæ ciuitas in Peloponneſo tale bellum ſuſtinere potuiſſet?*

Vſurpatur & ſine genitiuo plurali:vt,

Demoſth. καί με ἐρωτᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι? *Et me rogas, ob quam virtutem mihi honorem poſtulem?*

ὁποῖός τις. Quis.

Xenoph. ἔχεις οὖν εἰπεῖν ὁποῖός τις ὁ εὐσεβής ἐστιν? *Potes igitur dicere, quis homo pius ſit?*

οἷ
ὅποι } Quo, Quocunque:vt,
ὅπη

Demoſth. εἰς οἰκίαν ἦλθεν ἐπὶ δεῖπνον, οἷ μηδὲ βαδίζειν ἐξῆν αὐτῷ. *In ædes ingreſſus eſt ad cœnam quò ne accedere quidem ipſi licebat.*

Plato in Apol. ὅποι ἂν ἔλθω, λέγοντός μου ἀκροάσονται οἱ νέοι. *Quocunque venero, audient me differentem iuuenes.*

Dem. τί κωλύει αὐτὸν ἔξω, βαδίζειν ὅποι βούλεται? *Quid impediet ipſum, quò minus progrediatur, quocunque velit?*

Idem, τοῦ πορεύεσθαι ὅποι βουληθεῖεν, ἐξουσίαν ἔλαβον. *Eundi quò vellent, libertatem acceperunt.*

ποῖ, { καταφύγω? Quò confugiam? Æſchines.
γῆς, [cum genitiuo] Quò terrarum? Ariſtoph.
δὴ καὶ πόθεν? Quò tandem & vnde? Plato in Phæd.

Quiuis, Quilibet, Vulgaris, Plebeius, ὁ τυχών.

Plutarch. τὸ δ᾽ ὀργῆς κατακρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. *Iram cohibere, non cuiuſuis viri ſeu non vulgaris hominis eſt.*

Xenoph. παρὰ τοῦ τυχόντος χρήματα λαμβάνειν. *A quouis pecuniam accipere.*

Quiuis potius, quàm. Quiduis potius. πᾶς vel πᾶν μᾶλλον ἤ.

Dem. ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις, ἢ ἐμέ. *Quorum quoſuis potius, quàm me, cauſam eſſe inuenies.*

Idem, πάντα μᾶλλον ἢ ταῦτα λεκτέον. *Omnia potius quàm hæc. pro Quiduis potius, quàm hoc dicendum eſt.*

Quodlibet, vel quicquid libet, facit, & non quod leges iubent. ποιεῖ ὅ, τι ἂν βούλοιτο, οὐχ ὅσ᾽ ἂν οἱ νόμοι κελεύωσι. Demoſth.

¶ Quantus, Quanta, Quantum.

ὅσος.

Iſocr. ad Philip. οὐ με λέληθεν, ὅσον διαφέρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγόμενοι τῶν ἀναγινωσκομένων. *Non me latet, quantum ad perſuadendum interſit inter orationes, quæ ab ipſo oratore pronunciantur, & eas, quæ leguntur.*

ὅσον τὸ μέγεθος.

Iſo. οὐκ ἀγνοῶ ἡλίκος ὤν, ὅσον τὸ μέγεθος ἔργον ἐνίσταμαι. *Non ignoro, quantum opus aggrediar impar viribus meis.*

Cū ſequente ὅσον.

Iſocrates τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν κατέστησαν. *Quis ignorat, ex quantis miſeriis, in quantam felicitatem peruenerint.*

οἷος.

Demoſth. καὶ ἐν οἵαις ἦν ταραχαῖς, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθε. *Et in quantis fuerit perturbationibus, ex litteris eius cognoſcetis.*

ἡλίκος.

Diog. Laert. λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν, ἡλίκος ἂν ἦν θόρυβος, εἶπεν, εἰ ἐγὼ τοῦτο ἐποίουν. *Lupus cùm vidiſſet paſtores in tugurio comedentes ouem, propius accedens dixit: O quantus foret tumultus, ſi ego iſtud facerem.*

Demoſthenes, διέξεισιν ἡλίκα πᾶσιν ἀνθρώποις ἀγαθὰ ἐκ τῆς εἰρήνης γίγνεται καὶ τὰ ἐναντία ἐκ τοῦ πολέμου κακά. *Commemorat quanta commoda omnibus hominibus ex pace exiſtant, contráque quæ ex bello clades.*

Quantum ad me attinet, *Vel*, Quantum in me eſt. τό γ' ἐμὸν, τὸ μὲν ὡς ἔχει τἀμά, ὅσον δεῖν ἐπ' ἐμοί, κατ' ἐμέ, χρῆ τοὐμὸν, ὅσον τὸ κατ' ἐμέ, τὸ ἐπ' ἐμέ, τὸ εἰς ἐμέ, τὸ κατ' ἐμέ, τοὐμὸν, τοὐμὸν μέρος. GALL. *Quant à moy, Pour ma part. Pour mon regard.*

¶ Quiduis pati, agere, facere.

ὁτιοῦν { πράττειν. Quiduis agere.

ὁτιοῦν { πάσχειν. Quiduis pati. Demoſth.

Iſocrates, ἕτοιμός εἰμι ὁτιοῦν πάσχειν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον.

¶ Quoniam, Quia, Cùm.

ἐπειδὴ, vel ἐπειδήπερ, cum indicatiuo: vt, *Iſocr. ad Nicocl.* ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. *Cùm mortale corpus, animam autem immortalem nactus ſis, da operam, vt & animæ immortalem memoriam relinquas.*

Demoſth. ἐπειδήπερ ἀργῶς ἔχομεν, τὰ ἡμέτερ' αὐτῶν περιορῶμεν. *Quoniam ignaui ſumus, noſtrum negotium agamus.*

Demoſth. καὶ πῶς ταῦτα ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότε ἐκωλύθητε. *Et quomodo hæc geſta ſint, nunc audite, quoniam tunc impediti fuiſtis, hoc eſt, quia tunc vobis audire non licuit.*

Cùm pro Quando, ἡνίκα. ὅτε, ὅταν.

Demoſt. περὶ πλείστου τότε μάλιστ' ἀνθρώπινα φαίνεσθαι δεῖν ᾤετο, ἡνίκα εὐτύχει. *Humanitatis ſe omnium maximè memorem eſſe oportere exiſtimauit, cùm ſecundiſſima fortuna vſus eſt. Sic loquuntur & alij.*

Idem, ἐβίω δὲ πολλὰ ἔτη, καὶ ἦν πρεσβύτερος ὅτε ἐτελεύτα. *Vixerat autem multos annos & natu grandior erat, cùm moreretur.*

Idem, ὅπερ πρότερον συνέβη, ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποίησεν ἀπολέσθαι. *Quod prius accidit, cum miſeris Phocenſibus internecionis cauſa fuit.*

¶ ὅταν autem cum indicatiuo, ſæpius: autem cum optatiuo & ſubiunctiuo conſtruitur.

Frequens vſus eſt duorum vel plurium genitiuorum conſequentiam ſignificantium, qui per Cùm & verbum coniunctiui modi reddendi ſunt: vt,

Plutarch. τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην Σωτάδης εἰπών. *Cùm enim Philadelphus ſororem Arſinoen vxorem duxiſſet Sotades dixit, &c.*

πότε (interrogatiuum) Quando.

Demoſth. πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; *Quando agetis quæ agenda ſunt, ſi non nunc?*

Quoniam autem, Sed quia, vel quoniam.

ἐπεὶ δέ.

Ariſtot. Eth. 1. ἐπεὶ δ' ἐστὶν ἡ εὐδαιμονία ψυχῆς ἐνέργειά τις κατ' ἀρετὴν τελείαν. *Sed quoniam beatitudo eſt actio quædam animi, virtuti abſolutæ congruens.*

Quoniam igitur, ἐπεὶ οὖν.

Ariſtot. Eth. 2. ἐπεὶ οὖν ἡ παροῦσα πραγματεία οὐ θεωρίας ἕνεκά ἐστιν, ἀναγκαῖον ἐστι σκέψασθαι, &c. *Quoniam igitur hoc negotium ſuſceptum eſt non contemplationis cauſa, neceſſe eſt conſideremus, &c.*

¶ Quiuis, Cuiuſuis, Cuiuis, &c.

πᾶς }
ὁ τυχὼν } Quiuis: vt,

Demoſth. Olynth. 1. τὸ μὲν οὖν ἐπιτιμᾶν, φήσαι τις ἄν, ῥᾴδιον καὶ παντὸς εἶναι. *Sed dixerit quiſpiam, reprehendere facilè cuiuſuis eſſe.*

Idem, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσετε, ἢ ἐμέ. *Quorum quoſuis potius, quàm me, in cauſa eſſe inuenies.*

Xenoph. παρὰ τοῦ τυχόντος χρήματα λαμβάνειν. *A quouis pecuniam accipere.*

Chryſoſt. ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι. *Quauis ligna & animantia venerari.*

¶ Qua voce, Qua fronte?

Aeſchines cont. Cteſiph. σκοπεῖτε ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι τὰς ἱκεσίας ποιήσεσθε παρέντες ἀτιμωρήτους τοὺς ἐναγεῖς. *Cogitate, qua voce, quo animo, quibus oculis ſeu qua fronte ſupplicationes facturi ſitis, ſi nefarios iſtos impunè dimiſeritis.*

¶ Quia, ideo. ὅτι, διὰ τοῦτο: vt,

Demoſt. ὅτι ὑμῖν οὐ γὰρ συμφέρει, διὰ τοῦτο ἐπιτιμῶ. *Quia vobis non expedit, ideo reprehendo.*

Quiſque, Vnuſquiſque εἷς ἕκαστος, ἕκαστος, item, αὐτὸς ἕκαστος: vt,

Iſocr. εἰκὸς ἦν ἡμᾶς ἕκαστον τῶν παρὰ τὸ δίκαιον δυστυχούντων ἐλεῆσαι. *Par eſt nos miſericordia affici erga vnumquemque illorum, qui nullo ſuo merito affliguntur.*

Ariſtot. ἕκαστος δὲ κρίνει καλῶς ἃ γινώσκει, καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής. *Quæ quiſque nouit, de iis rectè iudicat, & horum eſt bonus æſtimator.*

Demoſt. τὸ κοινὸν αὔξειν ἕκαστος οἴεται δεῖν. *Quiſque exiſtimat bonum commune augendum eſſe.*

Plutarch. αὐτὸς αὑτοῦ κόλαξ ἕκαστός ἐστι πρῶτος καὶ μέγιστος. *Vnuſquiſque ſibi præcipuus & maximus adulator eſt.*

Qualis quiſque ſit. οἷόσπερ ἕκαστός ἐστι: vt,

Iſocr. αἱ δυσπραξίαι ταχέως καταφανεῖς ποιοῦσιν οἷοίπερ ἕκαστοι τυγχάνουσιν ὄντες. *Res aduerſæ ſubito oſtendunt qualis quiſque ſit, vel, quales ſinguli ſint.*

Quis eſt ille, qui eum in his adiuuit? Hic vſum habet particula εὐτύχημα ᾖ. *Quod non plures eiuſmodi homines exſtiterunt (qualis eſt Leocrates) id ego iudico veſtram felicitatem eſſe.*

Quod per ὡς expreſſum.

Lycurg. ἀγανακτῶ δὲ μάλιστα, ἐπειδὰν ἀκούσω τινὸς λέγοντος, ὡς οὐκ ἔστι τοῦτο προδοσία, εἴ τις ᾤχετο ἐκ τῆς πόλεως. *Valde ſuccenſeo, cùm audio aliquem dicentem, quòd non ſit proditio, ſi quis perſidioſè ex Vrbe diſcedat.*

¶ Qualis, Talis.

ὁποῖός τις, τοιοῦτος.

Xenoph. ὁποῖοί τινες ἂν οἱ προστάται εἰσί, τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ἐπὶ τὸ πολὺ γίγνονται. *Quales gubernatores ſunt, tales plerunque & ſubditi eſſe ſolent.*

2. ὁποῖος, τοιοῦτος.

OEnopides. ὁποία ἡ φύσις τοῦ ἀνθρώπου, τοιοῦτός ἐστι καὶ ὁ λόγος. *Quale hominis ingenium eſt, talis eſt & eius oratio.*

3. ὁποῖός ποθ' ἕκαστος, τοιοῦτος.

Ariſtot. ὁποῖός ποθ' ἕκαστός ἐστι, τοιοῦτο καὶ τὸ τέλος φαίνεται αὐτῷ. *Qualis quiſque eſt, talem conſequitur & exitum.*

4. οἷος, τοιοῦτος.

Mileſius apud Laert. οἵους ἂν ἐράνους εἰσενέγκῃς τοῖς γονεῦσι, τοιούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου. *Qualia officia parentibus tuis exhibueris, talia tu in ſenectute à liberis tuis expecta.*

Quantis vigiliis & miſeriis talis moribus curandus ſit, vos ipſi conſiderate. Iſoc. μετὰ πόνων ἀγρυπνιῶν καὶ ταλαιπωριῶν τοσοῦτον νόσημα θεραπεύσειεν ἄν τις, ὑμεῖς αὐτοὶ σκοπεῖσθε. Vbi nota præpoſitionem μετὰ cum genitiuo, quæ loco ablatiui cauſæ ponitur.

¶ Quantum in me eſt, vel fuit, Quantum ad me attinet, Pro mea virili parte. Vide ſuprà in Quantus, Quanta, Quantum.

τοὐμὸν vel τὸ ἐμὸν μέρος.
τὸ κατ' ἐμαυτὸν μέρος. Iſæus.
τό γ' ἐμόν.
τὸ κατ' ἐμόν.
τὸ ἐπ' ἐμοί.
ὅσον ἦν ἐπ' ἐμοί.

τὸ κατ' ἐμέ.
εἰς δύναμιν.
καὶ δύναμιν.
καὶ τὴν ἐμαυτοῦ τάξιν. Dem. *Quant à moy, Pour moy, &c.*

Vt potero modeſtiſſime dicam, ὡς ἂν δύνωμαι μετριώτατα λέξω. Demoſth.

Vtut potero, Quomodocunque potero.

Iſocrates, ὅμως δ' οὕτως ὅπως ἂν οἷός τε ὦ, πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν. *Sed tamen quomodocunque potero, conabor dicere de illis.*

ὅσον ἦν ἐφ' ἡμῖν
τό γε ἐφ' ἡμῖν ἐστὶ
τό γε ἐφ' ἡμῖν
ὅσον ἐφ' ἡμῖν
} Quantum quidem in nobis fuit. Syneſ.

Dem. καὶ ἐμοῦ παρ' ὑμῖν νῦν, ὅσον ἐφ' ὑμῖν, τεθνεῶτος. *Et me nunc apud vos quantum in vobis eſt, mortuo.*

Lyſias, τό γε ἐπ' ἐκείνῳ ἐστὶ, ἐσώθης. *Quantum in illo fuit, ſeruatus es.*

Xenoph. τὸ μὲν ἐπ' ἐκείνοις ἐστὶ ἀπολώλατε. *Quantum in illis fuit periiſtis.*

Eatenus, quatenus, vel Quoad. ἐφ' ὅσον, καὶ τοσοῦτον.

Lyſias, καθ' ὅσον ἕκαστος οἷός τ' ἦν, καὶ τοσοῦτον ἐβοήθει. *Eatenus quatenus poterat, vnuſquiſque opem ferebat.*

Sic ἐπὶ τοσοῦτον ἐφ' ὅσον: vt,

Ariſtot. πεπαιδευμένου γάρ ἐστιν, ἐπὶ τοσοῦτον τἀκριβὲς ἐπιζητεῖν καθ' ἕκαστον γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται. *Eſt enim hominis eruditi ſubtilitatem requirere in omni genere eatenus, quoad rei natura patiatur.*

ἐκ τῶν ὑπαρχόντων
ἐκ τῶν ἐνόντων
καὶ τὴν ὑπάρχουσαν οὐσίαν
} Pro modo facultatum, Pro præſenti rerum conditione & viribus. Demoſth. Lucian. Thucyd. *Selon ſes moyens.*

καὶ τὴν οὐσίαν δοῦναι. Pro facultatibus, vel Pro modo facultatum largiri. Ariſtot. in Eth.

Dem. ἀήττητος ἡ πόλις τὸ κατ' ἐμέ. *Inuicta eſt ciuitas, quantum ad me attinet.*

τὸ ἐκείνου μέρος
τὸ καθ' αὑτὸν μέρος
} Quantum in illo fuit. Lycurg. *Tant qu'il a peu.*

Iſocr. καὶ τό γε τούτου μέρος ἅπαντα τὰ προειρημένα πέπρακται. *Quantum in illo fuit, omnia quæ iam dicta ſunt, facta fuerunt.*

καὶ τὸ σὸν μέρος. Quantum ad te attinet. Plato in epiſt.

καθ' ὅσον δή τι
καθ' ὅσον } δυνατόν
εἰς ὅσον }
κατὰ τὸ δυνατόν
} Quantum fieri poteſt: ὡς δή τι. idem eſt.
Tant que faire ſe peut.

καθ' ὅσον { δύναμαι, δύνῃ, δύναται } Quantùm poſſum, potes, poteſt, &c. Iſoc.
De toute ma puiſſance.

καθ' ὅσον αὖ ἕκαστοι δύνανται, Quantum quidem ſinguli poſſunt. Iſoc. in Archid.

¶ Quantum, tantum.

ὅσονπερ, τοσοῦτον, vel, ὅσον, τοσοῦτον.

Iſocr. ad Nicocl. χρὴ τοίνυν ἄρχειν τοῦ ποιεῖν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. *Enitendum eſt, vt quantum honoribus alijs antecellis, tantum & virtutibus emineas, & eos ſuperes.*

Baſilius, ὅσον ὁ ἔξωθεν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται. *Quantum externus homo corrumpitur, tantum internus renouatur.*

Iſocr. ὅσην εὔνοιαν ἐγὼ ἔχων διατελῶ, τοσαύτην. *Quantam beneuolentiam ego conſeruo, tantam, &c.*

¶ Quaſi, Tanquam, Vt.

ὥσπερ, ὡς, δή.

Demoſth. ὥσπερ Θεός τις ὤν, ἀλλὰ μὴ ἄνθρωπος. *Quaſi Deus aliquis eſſet, & non homo.*

Aeſchines, μέμνηται τῶν ποιητῶν, ὡς ἡμῶν τῶν ἀνηκόων παιδείας ὄντων. *Mentionem fecit poetarum, quaſi nos nulla diſciplina eruditi eſſemus.*

Plato in Apologia. τὸ τεθνάναι ἐστὶ δὴ ὕπνος. *Mors eſt quaſi ſomnus.*

¶ Quò, eò : Quanto, tantò, cum comparatiuo.

ὅσῳ, τοσούτῳ.

Demoſt. contra Spud. ὅσῳ πρεσβύτερος ἐγὼ καὶ φιλανθρωπότερος τούτω

Bb

λεγόμην, τοσοῦτῳ μᾶλλόν με κατεφρόνει. *Quò ego mitius & humanius cum illo agebam, eò magis me contemnebat.*

ὅσῳ μᾶλλον μᾶλλον.

Ariſtot. Eth. 3. ὅσῳ ἂν μᾶλλον τὴν ἀρετὴν ἔχει πᾶσαν, μᾶλλον ἐπὶ τῷ θανάτῳ λυπήσεται. *Quo magis omni virtute inſtructus eſt (Vir fortis) eò moleſtius mortem perferet. Hic* μᾶλλον *pro* τοσούτῳ μᾶλλον *ponitur.*

Sed dictio πόσῳ eodem modo cum comparatiuo conſtruitur: vt,

Demoſth. εἰ πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, πόσῳ δικαιότερον καὶ ἀληθέστερον. *Quod ſi ſæpe multi multa & quidem atrocia perpeſsi ſunt, quanto iuſtius & verius etiam nos &c.*

ὅσον, ſequente τοσοῦτον cum comparatiuo:

Chryſoſt. ὅσον αὐτὸς μείζονα ὄγκον τῆς ἀρχῆς ἀναβιβάζηκεν ὁ τὴν βασιλείαν λαχὼν, τοσοῦτον πλείονα ἀπαιτηθήσεται λόγον. *Quanto ad altius faſtigium honoris aſcendit rex, tanto maiorem cogetur reddere rationem.*

ὅσον περ ſequente τοσοῦτον, vtrobique cum verbo: vt,

Iſocr. ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. *Quantum alios dignitate ſuperas, tantum etiam virtute ipſis antecelles, vel, Quanto honoribus aliis hominibus ſuperior es, tanto magis etiam eis virtute antecellere ſtudeas.*

¶ Quàm difficile hoc ſcit, ſcio.

Græci hic vtuntur plerunque voce ὡς cum indicatiuo: vt,

Demoſth. ὁρῶ μὲν, ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστίν. *Video quidem, quam difficile ſit optima dicere.*

Iſocr. ὡς οὖν συνεταράχθην, οὐκ ἂν δυναίμην εἰπεῖν. *Quantopere ego perturbatus fuerim, non poſſum dicere.*

Quàm pro Quantum, admiratiuè, ὡς: vt,

Ariſtoph. ὡς ἀργαλέον πρᾶγμ' ἐστὶ δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου. *Quàm moleſta res eſt ſeruum fieri ſtulti domini.*

Demoſth. θεάσασθε ὡς σαθρόν ἐστι φύσει πᾶν, ὅ,τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. *Videte quam languidum ſit, quicquid non iuſte actum eſt.*

Idem, τί οὖν ἐπιχειρεῖ; θεάσασθε ὡς εὖ. *Quid igitur molitur? Videte quam bene.*

Quàm grauiter, πῶς δυσχερῶς. Dem.

πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας, &c. Quàm difficulter hi qui pecuniam habent, in regnum Dei intrabunt. Marci 10.

Quaſi diceret, ὥσπερ ἂν εἴποι Plato in Apol.

Quanti? πόσου?

πόσου ἠγόρασας τὴν οἰκίαν σου. *Quanti emiſti domum tuam.*

Aeſopus. ἠρώτα, πόσου τις αὐτὸ πρίασθαι δύναται. *Interrogauit, quanti quis eam emere poſſet.*

πόσου διδάσκει; *Quanti docet? Xenoph. Sic* διδάσκω μισθοῦ. *Mercede doceo. Luc.*

Quot? πόσοι εἰσί;

Plutarch. πόσοι εἰσὶ Σπαρτιᾶται; *reſpondet Lacon,* ἱκανοὶ τοὺς κακοὺς ἀμύνειν. *Quot ſunt Spartani? tot, quot ſufficiant arcendis improbis.*

Reſpondetur autem ad quæſtionem πόσοι, *per* δύο, τρεῖς, τέσσαρες, πέντε, ἕξ *&c.*

Quotus eſt? πόστος;

Reſpondetur, πρῶτος, δεύτερος, τρίτος, τέταρτος.

ποσαπλάσιος, Quotuplex? Ad quod reſpondetur, διπλάσιος, τριπλάσιος, πολλαπλάσιος, Duplex, triplex, multiplex, &c.

¶ Quemadmodum, Vt.

καθάπερ, ὥσπερ, ὡς.

Ariſtot. Eth. 7. ἔοικε δὲ καθάπερ ἐν τῇ ἀρχῇ εἴρηται, ἐν τοῖς αὐτοῖς φιλία εἶναι. *Videtur autem, quemadmodum initio dictum eſt, in iiſdem amicitia eſſe.*

Idem, ὥσπερ καὶ πρότερον εἴρηται. *Vt & anteà dictum eſt.*

Idem, ὥσπερ Εὐριπίδης εἴρηκε. *Vt Euripides dixit.*

Idem ὡς καὶ πρότερον εἴπομεν. *Vt antea diximus.*

Plato, ὡς φησὶ Μέλιτος. *Vt Melitus inquit.*

Idem, ποιήσω ὡς λέγεις. *Faciam vt iubes.*

Vt, ita: Quemadmodum, ita vel ſic.

ὥσπερ, οὕτω; ὥσπερ, ὡσαύτως.

Iſocr. ad Dem. πρέπει τοὺς παῖδας ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. *Debet ad liberos vt patrimonij ſic & amicitia & neceſſitudinis paternæ hereditas peruenire.*

Demoſt. in Ariſtog. ὥσπερ ὅταν ἄρχωσι, τοὺς ἰδιώτας οἴονται δεῖν αὐτοῖς πειθαρχεῖν, οὕτως ὅταν αὐτοὶ ἰδιῶται γένωνται, πάλιν τοῖς τῆς πόλεως ἄρχουσι νόμοις δικαίως ἂν ἀκολουθοῖεν. *Quemadmodum cum magiſtratum gerunt, à plebeis obedientiam ſibi deberi cenſent: eodem modo & ipſos depoſito magiſtratu, legibus, Reipubl. moderatoribus parere æquum eſt.*

τὸ αὐτὸ ἐστὶν ὥσπερ ſequente; οὕτω: vt,

Demoſt. δέδοικα μὴ τὸν αὐτὸν τρόπον, ὥσπερ οἱ δανειζόμενοι, οὕτω καὶ ὑμεῖς. *Vereor ne quemadmodum fœneratores, ſic & vos, &c.*

Vt quiſque affectus eſt, ita iudicat.

Hic locum habet particula ὡς, & verbum ἔχω cum genitiuo εὐνοίας, aut ſimili, ſequente dictione οὕτως: vt,

Demoſt. ὡς γὰρ ἂν ὑμεῖς πρὸς ἕκαστον ἔχητε εὐνοίας, οὕτως ὁ λέγων δοκεῖ φρονεῖν, *Vt beneuolentia quemque proſequimini, ita orator ſentire videtur.*

Præcedit & dictio ὅπως, ac ſequitur τῷ τρόπῳ τούτῳ: vt,

Demoſt. ὅπως ἕκαστος ὑμῶν βούλεται, τῷ τρόπῳ τούτῳ φερέτω τὴν ψῆφον. *Vt cuique veſtrum placuerit, ſic & ſuffragium ferat.*

¶ Reconciliare, In gratiam redigere, Placare.

διαλλάττειν.

διαλλάττειν
- τινά. Aliquem reconciliare, placare. Iſoc. in Plat.
- τὴν πόλιν τῶν Ἀργείων καὶ τὴν Λακεδαιμονίων. Reconciliare ciuitatem Græcorum & Lacedæmoniorum. Iſocr. ad Philipp.
  - *Idem,* αὐτοὶ διαλλακταὶ γενόμενοι διήλλαξαν Ἐπαίνετον καὶ Στέφανον. *Ipſi pacificatores facti reconciliarunt Epanetum & Stephanum.*
- πολίτας. Ciues in gratiam redigere. Iſocr. De iugo.
- τὰς πόλεις πρὸς ἀλλήλας. Reconciliare ciuitates inter ſe. Iſocr. Et διαλλάττειν τὰς πόλεις ſimpliciter.
- τὰς πόλεις ἀλλήλαις. Reconciliare vrbes. Plutarch.
- τὴν πόλιν τῷ βασιλεῖ. Regi ciuitatem reconciliare. Thucyd.

Demoſt. ἀξιῶν Ἀρίσταρχον, ὅπως αὖ διαλλάξῃ αὐτῷ Δημοσθένη. *Rogans Ariſtarchum, vt ei reconciliaret Demoſthenem.*

συστῆσαι.

συστῆσαι
- τὰς πόλεις. Ciuitates reconciliare & conſociare. Iſocr. ad Philipp.
- τινὶ τὰς πόλεις. Ciuitates alicui reconciliare. Ibid.

In paſſiuo.

διαλλάττομαι
- τοῖς ἀποστᾶσι. Reconcilior illis: vel, Redeo cum illis in gratiam qui defecerunt. Iſocr
- πρός σε. Tibi reconcilior in Paneg.
  - *Idem in Trapez.* ἐὰν διαλλαγῶμεν πρὸς ὑμᾶς αὐτοὺς, ἐκελεύομεν τὸν ξένον κατακαῦσαι τὸ γραμματεῖον. *Si reconciliati fuerimus*

mus inter nos, iuſſimus hoſpitem libellum comburere.

Idem. διαλλαγεὶς πρὸς ἐκεῖνον, Λυσίμαχον ἐσυκοφάντει. *Cum eo reconciliatus, Lyſimachum calumniatus eſt.*

πρός σε περὶ τούτου. De hac re tecum in gratiam redeo. Idem. τοῦ βασιλέως διηλλαγμένου. *Cum rex reconciliatus & placatus eſſet. Iſocrat.*

ADIVNCTA.

¶ *Reconciliatio, actiuè.*

εἰς ὁμόνοιαν καταστῆσαι. Baſil. in concordiam reſtituere.

εἰς τὴν προϋπάρχουσαν εὔνοιαν αὐτὸν ἀποκατέστησεν, Diod. priſtinæ beneuolentiæ reſtituit.

ὑμᾶς ἐπειρώμην παύειν τῆς διαφορᾶς, Plat. in Eraſiſt. ſimultatem veſtram conabar ſedare.

συμφῦσαι, καὶ συνδῆσαι πάλιν εἰς τὴν προϋπάρχουσαν φιλότητά τε, καὶ κοινωνίαν, idem in epiſt. priſtinam amicitiam ac ſocietatem rurſus inter vos coagmentare.

διαφόρους ὄντας πειρᾶσθαι φίλους ἀλλήλοις ὅτι μάλιστα ποιεῖν, idem ibid. à ſimultate abſtrahere conari, amicitiamque inter ambos quàm maximè ſancire.

λόγοις συμβατηρίοις τοὺς διαφερομένους κατήλλαξε, Philo. Pacificatoria oratione contendentes inter ſe reconciliauit.

τὰς οὔσας ἔχθρας καταλύειν, Gregor. vigentes inimicitias extinguere, abiicere.

ἐπειρᾶτο συνάγειν τοὺς παῖδας εἰς φιλίαν, Herodian. adnitebatur inter filios amicitiam conciliare.

τοὺς διαφερομένους εἰς εὔνοιαν ἐπιτηδευμένην προσάγεσθαι, Brut. id eſt, εἰς εὔνοιαν ἀποκαταστῆσαι, diſſidentes ad certam beneuolentiam adducere.

διαλλάττειν, ἀξιοῦντα Ἀρίσταρχον ὅπως ἂν διαλλάξῃ αὐτῷ Δημοσθένην, Demoſth. petentem ab Ariſtarcho, vt ſe cum Demoſthene in gratiam reduceret.

τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, Andocid. mutuas ſimultates componere.

¶ *Reconciliari alicui.*

διαλύεσθαι τὴν ἔχθραν. Demoſth. inimicitias deponere.

διαλύσασθαι πρὸς τούτους, Æſchin. cum ipſis in gratiam redire.

τὰς ἔχθρας καταλύειν, Gregor, vel, καταλύσασθαι, Brut. idem quod διαλύειν.

διαλλάττεσθαι, Lucian. ἤδη τῆς Ἑλένης αὐτῷ διηλλαγμένης, Helena iam ipſi reconciliata.

μηδὲ πρὸς τελευτήσαντας διαλλαγήσονται, ἀλλὰ καὶ τοῖς παισὶ τὴν ἔχθραν διαφυλάξουσι, Demoſthenes. ne cum mortuis quidem in gratiam redibunt, verum filiis quoque ipſorum inimicitiam ſeruabunt.

ἀποστῆναι τῆς ἔριδος. Dion. à contentione abſcedere.

τὴν ἔχθραν ἀποθέσθαι, Suid. deponere.

κατατίθεσθαι τὴν φιλονεικίαν, idem quod ἀποθέσθαι. Bud. συνήδομαί σοι τὴν πρὸς τὸν Μῶρον φιλονεικίαν ἀποθεμένῳ, gratulor tibi qui inimicitias, quæ tibi cum Moro erant depoſueris.

τοῖς ἐχθροῖς σπείσασθαι, Phil. idem quod καταλλάττεσθαι cum hoſtib. amicitiæ fœdus percutere.

τοῖς αὐτόν τι διατεθεικόσι κακὸν ἐσπείσατο, Gregorius. cum his, à quibus malo aliquo affectus fuerat, reconciliatus eſt.

δυσδιάλλακτος, in iracundia perſeuerans, Cic. τίς οὕτω βαρύμηνις, καὶ δυσδιάλλακτος τῷ λελυπηκότι. Baſil. ecquis ita infeſtus atque implacabilis eſt ei, à quo læſus eſt?

τὴν δὲ ἀποστραφεῖσαν θεοῦ, ταύτην οἰκειωθῆναι αὐτῷ, idem. eam, quæ à deo auerſa erat, ipſi reconciliari.

ὥστε ἐκ τοῦ λοιποῦ χρόνου φίλους εἶναι ἀλλήλοις, καὶ μὴ μνησικακεῖν, Demoſth. adeò vt deinceps amicitiam inter ſe colerent, extincta omni offenſionum memoria.

καταλλάττειν.

καταλλάττειν τινὰς πρὸς ἀλλήλους. Reconciliare aliquos inter ſe.

Ariſt. Oeconom. 2. κατήλλαξεν αὐτοὺς πρὸς ἀλλήλους. *Reconciliauit eos inter ſe.*

καταλλάττειν τινὰ ἑαυτῷ. Sibi aliquem reconciliare.

2. Corinth. 5. ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ. *Quandoquidem Deus erat in Chriſto, mundum reconcilians ſibi. Sic & Chryſoſtomus loquutus eſt,* ἵνα τοὺς ἐχθροὺς πρὸς αὐτὸν διακειμένους ἑαυτῷ καταλλάξῃ. *Vt hoſtes ſuos ſibi reconciliaret.*

εἰς ὁμόνοιαν } ἄγειν τὴν πόλιν. Conciliare concordiam inter ciues. Demoſth. *Mettre la paix entre les habitans.*
εἰς ὁμόνοιαν } καταστῆσαί τινας. Reconciliare aliquos: vt,

Iſocrat. Areopag. διὰ ταύτην τὴν γνώμην εἰς τοσαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν. *Hac ſententia nos ad talem concordiam redegerunt.*

ἀπαλλαγὴν ποιεῖσθαι πρός τινα. Cum aliquo in gratiam redire: vt,

Iſocr. τὴν ἀπαλλαγὴν ποιήσασθαι ἠθέλησε πρὸς αὐτὸν ἐμέ. *Voluit, vt cum ipſo in gratiam redirem.*

διαλλαγὴν ποιεῖσθαι ἐπί τινος. Propter aliquid in gratiam redire.

Iſocr. in Paneg. οὐκ εἰκὸς ἦν αὐτὸν τὸν ἐπὶ δυοῖν μναῖν ποιήσασθαι τὴν διαλλαγήν. *Non oportuit ipſum ob duas drachmas illos reconciliare.*

ἱλάσκεσθαι θεὸν προσόδοις ϗ θυσίαις. Placare Deum ſupplicationibus & ſacrificiis. Dem.

ἵλεως. Propitius, Clemens, tribuitur Deo, & interdum hominibus. Xenoph. & Plutarch.

παρασκευάζειν ἑαυτῷ φίλους. Conciliare ſibi amicos. Idem.

ψυχαγωγεῖν τοὺς ἀκούοντας
καταπραΰνειν τοὺς ἀκροατάς } Demulcere auditores, Conciliare ſibi auditores, ſeu Beneuolos reddere auditores. *Attirer la bienueillance des auditeurs.*

πραΰνειν.

πραΰνειν {
τὸ θυμοειδές. Illam partem animi, in qua irarum exiſtit ardor, ſedare, lenire & reſtinguere. Plato.
ἵππον. Equum manſuefacere. Xenoph.
τοὺς πολλοὺς ἐπιεικέσι λόγοις ϗ δόγμασι χρηστοῖς. Imperitam multitudinem ſeu vulgus manſuetis verbis & vtilibus doctrinis lenire. Plutarch.

πραΰνεσθαι. Leniri, Manſuefieri, Placari. Ariſtot.

Vſurpatur & καταπραΰνειν, pro Lenire & Demulcere apud Ariſtot. Iſocr. & Plutarch.

Plutarch. in Lycurgo, κατεπραΰνοντο τὰ ἤθη τῶν ἀκροωμένων. *Cum hæc audirent, ingenia eorum demulcebantur & miteſcebant.*

ἐξιλᾶσθαι (pro quo dicitur ἐξιλάσκεσθαι) Placare.

Xenoph. πολλὰ μὲν πέμπων ἀναθήματα χρυσᾶ, ἐξιλασάμην ποτὲ αὐτόν.

Plutarch. ἐξιλάσκεσθαι τὸ μήνιμα τοῦ θεοῦ. *Placare iram Dei, Deum ex irata propitiam reddere.*

διαλλαγή,
καταλλαγή. } Reconciliatio, Reditus in gratiam, Pacificatio. Demoſth. Iſocr.

διαλλακτής. Pacificator, Reconciliator. Demoſth.

Redire, Reuerti ad aliquid.

ἐπανελθεῖν.

ἐπανελθεῖν {
ἀπὸ τῆς πρεσβείας. Redire ex legatione. Dem. pro quo idem autor alias dicit ἥκειν ἀπὸ vel ἐκ τῆς πρεσβείας πάλιν.
ἐκεῖσε.
Demoſth. ἀλλ᾽ ἐκεῖσε ἐπανέρχομαι. *Sed illud redeo.*
ἐπὶ τὴν ὑπόθεσιν. Redire ad inſtitutum. Iſocr.
πάλιν ἐπὶ τὴν ὑπόθεσιν. Idem Iſoc.
Ariſtot. Eth. 2. πάλιν δὲ ἐπανέλθωμεν ἐπὶ τὰ ζητούμενα.

ἀγαθόν. Reuertamur ad illud, quod quærimus bonum.

ὅθεν εἰς ταῦτα ἐξέβην, βούλομαι. Eo reuertar, vnde digreſſus ſum. Demoſth.

οἴκαδε. Domum redire. Demoſt. Pro quo etiam dicitur, οἴκαδε ἀφικέσθαι.

εἰς τόπον ἐξ οὗ &c. vt,

Iſocr in Panath. λοιπὸν οὖν ἐστὶν οὐδὲν ἄλλο, πλὴν ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον, ἐξ οὗ περ ἔπεσον εἰς τὴν περιττολογίαν ταύτην. *Nihil aliud reſtat, quàm vt reuertar ad locum, vnde in hanc ſermonis prolixitatem digreſſus ſum.*

ἐπάνειμι.

ἐπάνειμι

πάλιν ἐπὶ τὰς ἀποδείξεις. Redeo ad demonſtrationes. Demoſthenes.

ἐκεῖσε. Reuertar illuc. Dem.

ὅθεν εἰς ταῦτα ἐξέβην. Reuertar vnde in hæc digreſſus ſum. Xenoph.

πάλιν ὅθεν εἰς τὰς περὶ Ἰάσονος πράξεις ἐξέβην. Reuertar vnde in Iaſonis res geſtas digreſſus ſum. Xen.

ἐκ Δελφῶν Redeo Delphis.

Plutarch. Lycurg. οὐδὲν μετακινεῖν, ἕως ἐπάνεισιν ἐκ Δελφῶν αὐτός. *Nihil mouere, quoad Delphis ipſe redierit.*

ἀναστρέφειν.

Demoſthenes, ἐκ τῆς Χαλκίδος ἧκεν ἀναστρέψας. *Ex Chalcide reuerſus.*

Lucian. ἀπὸ τῆς νομῆς ἀναστρέψας. *Ex paſtu reuerſus.*

ἀναχωρεῖν
- Regredi, Retrocedere.
- εἰς τοὔπισθεν. Regredi. Ariſtoph.

Redire ad ſe, Vires Colligere.

ἀναλαβεῖν.

ἀναλαβεῖν

ἑαυτόν. Redire ad ſe: vt,

Aeſchines. ὡς ἅπαξ ἐταράχθη, καὶ τῶν γεγραμμένων διεσφάλη, οὐκ ἀναλαβεῖν ἑαυτὸν ἐδυνήθη. *Vt ſemel fuerat perturbatus, & à ſcriptis aberrauerat, ad ſe redire non potuit.*

ἑαυτήν. De re inanimata: vt,

Iſocr. ἡ μὲν ἡμετέρα πόλις ἐλάττοσιν ἔτεσιν ἀνέλαβεν αὑτὴν ἢ κατεπολεμήθη. *Noſtra vrbs paucioribus annis vires ſuas collegit vel recuperauit, quàm bello ſubacta fuerat. Pro* ἀναλαβεῖν ἑαυτὸν, *dicimus etiam,* καταστῆσαι ἑαυτὸν εἰς τὴν αὐτὴν ἕξιν. *Iſoc. in Panath.*

ADIVNCTA.

Redire,vel reuerti.

ἀναχωρεῖν ἐπ' οἴκου. Demoſth domum recedere.

ἀναστρέφειν οἴκαδε. Greg. domum reuerti.

ἐπὶ πόδας εὐθὺς ἀνέστρεφον. Luc ſtatim pedem reflectebam.

ὑποστρέφειν εἰς οἶκον, ὅθεν ἐπανεχώρησεν. Greg.

πάλιν εἰς τὸ ὅθεν ἐξῆλθεν, ἐπαναστρέφει. Baſil.

τῷ προϊέναι, τὸ ἀναστρέφειν opponit Diod.

οὔτε προϊέναι πορρώτερον, οὔτε ἀναστρέφειν ἐδύνατο, nec porrò progredi, nec pedem referre poterat.

ὀπίσω χωρεῖν. Luc.

ἐδέδοκτο ἰδόντι με Ἀθήνας μόνον, ἐπὶ πόδα εὐθὺς ὀπίσω χωρεῖν, mihi conſtitutum erat, viſis tantùm Athenis, ſtatim recedere.

ἐπανέρχεσθαι. Philo.

ἐπανέρχονται πάλιν, ὅθεν ὡρμήθησαν, eò redeunt, vnde egreſſi ſunt.

ἐπανήκειν οἴκαδε, domum redire.

ἐπανήκοντος δέ σου, καὶ ἔχοντος τὴν πατρίδα, Liban. te autem in patriam reuerſo.

ἀνατρέχειν. Luc.

ἐπὶ τὸ ἀρχαῖον μῖσος ἀνατρέχεις, ad vetus odium recurris, reuolueris.

